ABDIV propheta oriundus erat ex Sichen, agroq; Leththachamar. Hic eſt uates iſte, qui ter ſemicenturionẽ egit, cuiq; pepercit Helias Thesbites. Deſcendit ut conueniret regem: poſthæc uero regiæ ordinationis deſertor, adhæſit diuinatori Heliæ, & factus eſt diſcipulus eius, cuius gratia plurima ſuſtinens, ſeruatus eſt. Suum autem diem obiens ille, in agro Beththachamar cum patribus ſuis capulum obtinuit.

IONAE PROPHETAE
uita & interitus.

IONAS propheta, patria fuit ex terra Cariathamaum haud porrò ab Azoto urbe Græcorum mari uicina,

Ἦν τότε ἠλίας ὁ προφήτης ἐλέγχων τὸν ἀχαὰβ βασιλέα σαμαρείας καὶ καλέσας λιμὸν μεγαλὸν ἐπὶ τὴν γῆν ἔφυγεν ἐν τῇ ἐρήμῳ, καὶ ἐτρέφετο ἐκ τῶν κοράκων, καὶ ἔπινεν ὕδωρ ἐκ τοῦ χειμάῤῥου καὶ ὅτι ἐξηράνθη ὁ χείμαῤῥος ἐπείνασεν, καὶ ἦλθ' εἰς σαρεφθὰ τῆς σιδωνείας πρὸς γυναῖκα χήραν πενιχρὰν ἥ τε ἦν μήτηρ τοῦ ἰωνᾶ καὶ εἰσῆλθ' εἰς τὸν οἶκον αὐτῆς καὶ ἐποίησεν αὐτῷ ὡς προσέταξεν αὐτῇ, καὶ ἔφαγεν καὶ εὐλόγησεν αὐτὴν σίτῳ καὶ ἐλαίῳ. καὶ ἔμεινεν μετ' αὐτῆς οὐ γὰρ ἐδύνατο μεῖναι μετὰ ἀπεριτμήων. Καὶ θανόντα τὸν υἱὸν αὐτῆς ἰωνᾶν ἀνέστησεν ὁ θεὸς δὲ τοῦ ἠλία καὶ ἀπέδωκεν αὐτὸν ζῶντα τῇ μητέρι αὐτοῦ διὰ τὴν φιλοξενίαν. Καὶ γενόμενος ἡλικίας ὁ ἰωνᾶς ἀπεστάλθ' εἰς νινευὶ πρὸς τοὺς ἀσυρίους καὶ ἐζήτησεν ἰωνᾶς ἀποδράσαι κύριον καὶ κατέποθ'. ὑπὸ τοῦ κήτους πορευθῆναι, βουλόμενος εἰς θαρσεῖς, ἐξελθὼν δὲ ἐκ τοῦ κήτους ἐκήρυξεν τὴν πόλιν νινευΐ. καὶ μετανοήσας οἱ νινηυῖται τῷ θεῷ καὶ ἠλεήθησεν.

Καὶ ἐλυπήθ' ἰωνᾶς καὶ ἀνακάμψας, οὐκ ἔμεινεν εἰς τὴν γῆν αὐτοῦ ἀλλὰ περιλαβὼν τὴν μητέρα αὐτοῦ παρῴκησεν εἰς τὴν σοὺρ χώραν τῶν ἀλλοφύλων. ἔλεγεν γάρ. ὅτι οὕτω σαφῶμαι τὸν ὀνειδισμόν. ὅτι ἐψευσάμην προφητεύσεν κατὰ νινευΐ.

Καὶ κατοικήσας ἐν γῇ σαὰρ ἐκεῖ ἀπέθανεν. καὶ ἐτάφη ἐν τῷ σπηλαίῳ τοῦ κενεζέου κριτοῦ. Ἐπροεφήτευσεν δὲ ὅτι ὅταν ἰσώσιν ἐν ἱερουσαλὴμ ἔθνη πολλὰ ὑποδυζηκῶν ἕως ἐδάφους ἀφανισθήσεται.

Ο ΤΟΥ ΒΙΟΣ ΝΑΟΥΜ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΝΑΟΥΜ δὲ ὁ προφήτης, οὗτος ἦν ἀπὸ ἐλκέσι πέραν τοῦ ἰορδάνου εἰς βηγαβὰρ ἐκ φυλῆς συμεών.

Οὗτος μετὰ τὸν ἰωνᾶν τέρας ἔδωκεν ἐπὶ νινευΐ, ὅτι ὑπὸ ὑδάτων γλυκίων καὶ πυρὸς ἐπιγείου ἀπολεῖθ' ὁ καὶ γέγονεν.

Ea ætate Helias propheta redarguebat Achaab principẽ Samariæ. Is ubi uulimiam ſuper terram uocaſſet, corripuit ſe in ſolitudinẽ, ubi à coruis altus, de torrentis unda ſitim ſedauit, et quando torrens exaruit, eſuriebat, migrauitq́ in Saraphtha Sidoniæ ad fœminam tenuem quandam uiduam, genitricem Ionæ, ingreſſusq́ eſt ædes ipſius. Mulier autem nihil reliqui fecit in his quæ ei mandauit. Manducauit etiã, & benedixit tam in frumento, q̃ in oleo. Et cõmoratus eſt cum ea. Nam cum incircunciſis conſuetudine habere nequibat. Quum autem poſt hæc filius uiduæ eius fato functus eſſet Ionas, reſuſcitauit eũ deus per Heliam, reſtituit'que ipſum iuuenem ſuæ genitrici, uiuentem propter hoſpitalitatem. Vbi igitur ad iuſtam prouectus eſſet ætatem Ionas, ablegatus eſt in Niniue ad Aſſyrios: quumq́ ſtuderet effugere dominum, abſorptus eſt à ceto in itinere, profecturus in Tharſos. Egreſſus uero rurſus Balænam, prædicauit in Niniue. Tum reſipuere Niniuitæ coram deo, & reddiderunt deum ſibi propicium. Mœrore autem affectus Ionas natale ſolum repetit, neq́ domi permanendũ ducebat, uerum aſſumpta parente ſua in Sur peregrinatus eſt, regionem alienigenarum, Inquit enim ne fortè exprobretur, uanam exiſtere meam prophetiam contra Niniue. Quum frequentaret itaq́ terram Saar, uita ibidem functus in ſpecu Cenezei Iudicis humatus eſt. Prophetauit autem uates ille, quod ubi conſpicerent olim in Hieruſalem innumeras gentes ab occaſu, tunc radicitus popularetur ea ciuitas, & euerteretur funditus.

NAVM PROPHETAE uita & interitus.

NAVM uero ꝓpheta natus erat ab Elckeſi trans Iordanẽ fluuiũ, uerſus Begabar, de tribu Simeon. Hic eſt propheta ille qui poſt Ionam oſtentũ dedit ſuper Niniue, quod ab aquis dulcibus, igneq́ terreno olim uaſtaret.

γὰρ περιέχουσα αὐτὴν ἐν σεισμῷ, καὶ πυρὶ ἐκ τῆς ἐρήμου ἐπελθὼν πάντα ὑψηλότερα αὐτῆς ἐν ἔπρησεν μέρη.

Ἀπέθανεν δὲ Ναοὺμ ἐν εἰρήνῃ ἐτάφη δὲ ἐν τῇ γῇ αὐτοῦ Βηγαβάρ.

Ο ΤΟΥ ΒΙΟΣ ΑΒΑΚΟΥΜ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΑΒΑΚΟΥΜ ὁ προφήτης, οὗτος ἦν ἐξ ἀγροῦ Βηξζοχὴρ ἐκ φυλῆς Συμεών. οὗτος εἶδεν πρὸ τῆς αἰχμαλωσίας περὶ τῆς ἁλώσεως Ἱερουσαλήμ. καὶ ἐπένθησεν σφόδρα ἐπὶ τῇ πόλει καὶ τῷ λαῷ. Καὶ ὅτε ἦλθε Ναβουχοδονόσωρ εἰς Ἱερουσαλὴμ τοῦ πορθῆσαι αὐτὸν, οὗτος ἔφυγεν εἰς Ὀστρακίνην καὶ ἦν ἐκεῖ πάροικος εἰς γῆν Ἰσμαήλ ὥστε ὑπέστρεψαν οἱ Χαλδαῖοι ἀπὸ τῆς Ἱερουσαλὴμ εἰς τὴν γῆν αὐτῶν λάφυρα αὐτὴν ποιήσαντο, καὶ οἱ κατάλοιποι οἱ ὄντες ἐν Ἱερουσαλὴμ κατέβησαν εἰς Αἴγυπτον, αὐτὸς δὲ ἀνῆλθεν εἰς τὴν γῆν αὐτοῦ καὶ ἐλειτούργει τοῖς θερισταῖς τοῦ ἀγροῦ ἑαυτοῦ. ἔσπειρεν γὰρ κριθ', ὡς δὲ ἥψησεν αὐτοῖς ἐδέσματα. Ἐπροεφήτευσεν τοῖς ἰδίοις εἰπών. πορεύομαι ἐγὼ εἰς γῆν μακρὰν καὶ τάχεον ἐπανελεύσομαι. ἐὰν δὲ βραδύνω ἀπενέγκατε φαγεῖν τοῖς θερισταῖς. καὶ γενόμενος ἐν Βαβυλῶνι καὶ δοὺς τὸ ἄριστον τῷ Δανιὴλ εἰς τὸν λάκκον τῶν λεόντων ὑποστρέψας παρέστη τοῖς θερισταῖς ἐσθίουσιν. καὶ οὐδενὶ εἶπεν τὸ γενόμενον. συνῆκεν δὲ ὁ προφήτης, ὅτι τάχει ἐπιστρέψει ὁ λαὸς ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλήμ. ἔδωκεν δὲ τέρας τοῖς ἐν τῇ Ἰουδαίᾳ ὅτι ὄψονται ἐν τῷ ναῷ φῶς μέγα διαλάμψαν. καὶ οὕτως εἴδωσιν τὴν δόξαν τοῦ θεοῦ. καὶ περὶ τῆς συντελείας τοῦ ναοῦ προεῖπεν, ὅτι ὑπὸ ἔθνους δυτικοῦ γενήσεται ἡ πόρθωσις τοῦ ναοῦ Ἱερουσαλὴμ τότε τὸ ἅπλωμα τοῦ Δαβεὶρ εἰς δύο μέρη ῥαγήσεται καὶ ἐπικρανᾶ τῶν δύο στύλων ἀφαιρεθήσονται. καὶ οὐδεὶς γνώσεται ποῦ ἔσονται. αὐτὰ δὲ ἐν τῇ ἐρήμῳ ἀπενεχθήσονται ὑπὸ ἀγγέλων, ὅπου ἐν ἀρχῇ ἐπάγη ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ ἐν αὐτοῖς γνωσθήσεται ἐπὶ τέλει κύριος ὅτι φωτίσουσι τοὺς διωκομένους ὑπὸ τοῦ ὄφεως ὥσπερ ἐξ

ἀρχῆς

id quod tandē factū eſt & cōtigit. Quippe eā ex terræmo⸗ tu igne undiq; ambiente, mox etiā aqua de heremo ſuper ueniens, ſublimiores etiam omneis urbis locos ſeu partes occupauit. Expirauit uero Naum animā in pace, & in Be gabar Sedibus ille ſuis placidis in morte quieſcit.

ABACVK PROPHETAE
uita & interitus.

ABACVK propheta ex agro Bexzochar è tribu Si⸗ meon oriundus. Quū ante expugnationem proſpi ceret captiuitatē Hieroſolymæ, tam, ut qui maxime luxit, quum ſuper ciuitatē, tum ſuper populum eius. Appropin⸗ quante autem Nabuchodonoſor Hieroſolymis, ut diſſipa ret eas, fugā dedit ille in Oſtracinā, & manebat illheic in⸗ cola in terra Iſmaël. Aſt ubi Chaldæi Hieroſolymis ſoluen tes, remearent in patriam ſuam, cum exuuijs atq; captiuis, & reliquiæ urbis Hieroſolymæ in Aegyptū deſcenderēt, Antiſtes ille reuerſus in patriā, miniſtrauit meſſoribus ſui agelli, ſeminauerat enim ordea. Cæterū ſtatim ut eſculen⸗ ta præparauerat, uaticinatus eſt ſuis, dicēs: Proficiſcar ipſe in longinquā terram, & reuertar ocyus: ueruntamē ſi cun ctauero diutius, apponite noſtris meſſoribus q̃d mandu⸗ cent. Et translatus repente in Babylonem, exhibuit pran diū Danieli, qui erat in cauea cum leonibus. Deinde egreſ ſus aſtitit meſſoribus dum iam cœnarēt, neq; cōmunicauit cuiq; uel tantillū de eo quod cōtigerat. Annūciauit præte rea Abacuk paucis poſt diebus poſtliminio ex Babylo⸗ ne Hieroſolymā populū remeaturū. Obiecit porrò oſten tum ijs qui Iudæam habitant, Quod ſcilicet uiſuri eſſent in templo grande lumen lucide micans, & ita contempla⸗ rentur gloriā dei. Prædixit itē de conſummatione templi, quod à populo occidētali foret deuaſtatio eius Hieroſoly mis, Tum carbaſus, inqt, Dair in duas findet particulas. Geminarū itē columnarū capitella ſeu epiſtelia è medio auferent. Neq; quiſquā cognouerit, ubi ſint, quoue perue nerint: ſed in deſertū efferent ab angelis, ubi nup cōpactū erat martyrij tabernaculū. Et in illis cognoſcet in conſum matione dn̄s, q̃d illuminabūt pſequutos à ſerpēte tanq; ab

ἀρχῆς καὶ διασώσει αὐτοὺς κύριος ἐκ σκιᾶς θανάτου καὶ ἔσονται ἐν σκηνῇ ἁγίᾳ. Οὗτος ὁ προφήτης περὶ τῆς ἐλεύσεως τοῦ κυρίου πολλὰ προεφήτευσεν, πρὸ δὲ δύο ἐτῶν τῆς ἐπιστροφῆς τοῦ λαοῦ τῆς ἀπὸ βαβυλῶνος. ἀπέθανεν καὶ ἐτάφη ἐν τῷ ἰδίῳ αὐτοῦ ἀγρῷ ἐνδόξως.

Ο ΤΟΥ ΒΙΟΣ ΣΟΦΟΝΙΟΥ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΣΟΦΟΝΙΑΣ δὲ ὁ προφήτης, οὗτος ἦν ἐκ φυλῆς συμεὼν ἀπὸ ὄρους σαραβαθά. Επροεφήτευσεν καὶ περὶ τῆς πόλεως ἱερουσαλὴμ ὅτι οἰκοδομηθήσεται ἐπικρείττως εἰς μῆκος καὶ πλάτος καὶ περὶ τέλους ἐθνῶν καὶ αἰσχύνης ἀσεβῶν, καὶ περὶ τῆς τοῦ κυρίου παρουσίας. ἀπέθανεν δὲ ἐν ἀποκαλύψει κυρίου. καὶ ἐτάφη ἐν τῷ ἀγρῷ αὐτοῦ μονότατος.

Ο ΤΟΥ ΒΙΟΣ ΑΓΓΑΙΟΥ ΠΡΟΦΗΤΟΥ. καὶ ποῦ κεῖται.

ΑΓΓΑΙΟΣ ὁ προφήτης ἔτι νέος ὢν ἐπανῆλθ' ἐκ βαβυλῶνος εἰς ἱερουσαλὴμ, καὶ φανερῶς περὶ τῆς ἀπιστροφῆς τοῦ λαοῦ προεφήτευσεν. καὶ εἶδεν τὴν οἰκοδομὴν τοῦ ναοῦ ἱερουσαλὴμ καὶ αὐτὸς ἔψαλλεν ἐκεῖ πρῶτος ἀλληλούϊα ὃ ἑρμηνεύεται αἰνέσωμεν τῷ ζῶντι θεῷ. ἀμὴν ὅ ἐστιν γένοιτο, γένοιτο. Εκεῖ οὖν ἀπέθανεν καὶ ἐτάφη πλησίον τῶν ἱερέων ἐνδόξως, διὸ λέγομεν ἀλληλούϊα, ὅ ἐστιν ὕμνος ἀγγαίου ζαχαρίας.

Ο ΤΟΥ ΒΙΟΣ ΖΑΧΑΡΙΟΥ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΖΑΧΑΡΙΑΣ ὁ προφήτης, οὗτος ἦν υἱὸς βαραχίου. οὗτος ἦλθ' ἀπὸ γῆς χαλδαίων ἤδη προβεβηκὼς καὶ ἐκεῖ ὢν πολλὰ τῷ λαῷ ἐπροφήτευσεν καὶ τέρατα πολλὰ ἔδωκεν εἰς ἀπόδειξιν, οὗτος εἶπεν τῷ ἰωσεδὲκ, ὅτι γεννήσεται υἱὸν καὶ ἐν ἱερουσαλὴμ ἱερατεύσει τῷ κυρίῳ. Οὗτος καὶ τὸν

σαλαθιὴλ

initio. Et ſeruabit eos dominus ab umbra mortis, eruntq; in tabernaculo ſancto. Hic propheta de aduentu domini non pauca uaticinatus eſt, atq; ante biennium quàm populus à Babylone rediiſſet, mors prophetã occupauit, & magnis honoribus in agro ſuo ſepultus eſt.

SOPHONIAE PROPHETAE uita & interitus.

SOPHONIAS quidem propheta Sarabathides, ſiue à monte Sarabatha, è tribu ac proſapia erat Symeon. Is quoq; de Hieroſolyma ciuitate ꝓphetauit, Nempe quod multò foret ſatius ſi in longũ, latumq; ædificaretur. Super conſummatione etiam gentium: necnon & ſuper confuſione impiorum. Deq; aduentu domini. Vitã morte commutauit in Apocalypſi domini, & ſolitarius in aruo ſuo funeratus eſt.

AGGAEI PROPHETAE uita & interitus.

AGGAEVS propheta, etiamdum iuuenis admodum, ex Babylone profectus eſt Hieroſolymam, & ingenue de reditione populi uaticinatus eſt. Et oculis, ſtructuram templi Hieruſalem, hauſit. Idem ibidem omnium primus cecinit alleluia, quod eſt, Laudibus efferemus uiuentem deum. Amen, quod, fiat, fiat, interpretat̃. Eodem igitur loci diſceſſit, & humo, prope ſacerdotes, cum honore & gloria conditus eſt. Proinde etiamdũ hodie pſallimus Alleluia, qui hymnus Aggæi & Zachariæ prohibetur.

ZACHARIAE PROPETAE quum uita tum interitus.

ZACHARIAS ꝓpheta, natus Barachia, è terra Chaldæorũ ſoluit, & inter proficiſcendũ permulta populo uaticinatus eſt, demonſtrationis cauſa, ſiue ad oſtentationẽ. Plurima quoq; deſignauit miracula. Hic eſt qui in os annunciauit Ioſedeck, Naſcet̃ ex te filius, qui ſacris initiatus Hieroſolymis ſacrificabit dño. Hic etiam benedixit

Aliâs ἀλόγησεν. σαλαθιὴλ εὐλόγησεν ἐπὶ υἱῷ λέγων. ὅτι γεννήσει υἱὸν καὶ καλέσει τὸ ὄνομα αὐτοῦ ζοροβάβελ. καὶ ἐπὶ κύρου τοῦ βασιλέως περσῶν τέρας ἔδωκεν εἰς νίκος.

Περὶ κροίσου τοῦ λυδίων βασιλέος, καὶ περὶ ἀστυάγους τοῦ τῶν μήδων βασιλέος, καὶ περὶ τῆς λειτουργίας αὐτοῦ ἐπροεφήτευσεν, ἣν ποιήσει κύρος ἐπὶ ἱερουσαλὴμ, καὶ εὐλόγησεν αὐτὸν σφόδρα.

τὰ δὲ τῆς προφητείας αὐτοῦ τῆς ἐν ἱερουσαλὴμ. καὶ περὶ τέλους ἐθνῶν καὶ περὶ τῆς τοῦ ναοῦ ἱερουσαλὴμ οἰκοδομῆς καὶ ἀργίας προφητῶν καὶ ἱερέων διπλῆς κρίσεως ἐξέθετο.

Απέθανεν δὲ εἰς τὴν ἰουδαίαν ἐν γήρει μακρῷ. καὶ ἐτάφη συνεγγὺς ἀγγαίου τοῦ προφήτου.

Ο ΤΟΥ ΒΙΟΣ ΜΑΛΑΧΙΟΥ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΜΑΛΑΧΙΑΣ ὁ προφήτης ἦν ἐκ φυλῆς ζαβουλὼν. οὗτος μετὰ τὴν ἐπιστροφὴν τοῦ λαοῦ τὴν ἀπὸ βαβυλῶνος τίκτεται ἐν σοφᾷ ἐν γῇ ζαβουλὼν. καὶ ἔτι νέος ὢν καλὸν βίον ἔσχεν.

Πολλὰ δὲ προεφήτευσεν περὶ τῆς τοῦ κυρίου ἐπιδημίας καὶ περὶ κρίσεως νεκρῶν ὅτι τὰ ἔθη μωυσέως πληρωθήσονται καὶ ἀλλαγήσονται.

Καὶ ἐπειδὴ πᾶς ὁ λαὸς ἐτίμα αὐτὸν ὡς ὅσιον καὶ πρᾳὸν ἐκάλεσεν μαλαχὶλ ὃ ἑρμηνεύεται ἄγγελος ἦν γὰρ καὶ τῷ εἴδει πάνυ εὐπρεπὴς, ἀλλὰ καὶ ὅσα εἶπεν αὐτὸς ἐν προφητείᾳ αὐτῇ τῇ ἡμέρᾳ ἄγγελος ὤφθεις ἐπαιδευτέρωσεν αὐτοῦ τὴν προφητείαν. ὥσπερ ἐγένετο ἐν ταῖς ἡμέραις τῆς ἀναρχίας. ὡς γέγραπται ἐν σφαρφωθεὶμ, τουτ' ἔστιν ἐν βίβλῳ κριτῶν.

Νέος δὲ ὢν ὁ προφήτης ἀπέθανεν, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ἐν τῷ ἀγρῷ αὐτοῦ.

Salathiel in filio,dicens: Procreabit filiũ,& indet nomen illi Zorobabel.De Cyro quoque rege Perſarum Zacharias oſtentum dedit,idq; ad uictoriam.Signum item ſuper Crœſo Lydorum Tyranno obiecit: necnon & ſuper rege Medorũ Aſtyage. Deq; publico miniſterio,quod Cyrus rex deſignaturus eſſet Hieroſolymis, uaticinatus eſt,laudibusq; euexit illũ,nec uulgariter benedixit. De uaticinio porrò,quam prophetiam uocant,proprio in Hieruſalem, de conſummationeq; gentium, & de templi Hieroſolymitani ædificatione. De ocio deniq; & deſidia tam prophetarum,quàm ſacerdotum, nonnulla duplici quadã criſi expoſuit. Deceſſit in ultima ſenectute in Iudæa, & proximè cum Aggæo propheta humatus eſt.

MALACHIAE PROPHETAE uita & interitus.

MALACHIAS propheta è tribu Zabulon emicuit. Hic poſt reditum populi de Babylone,natus prohibetur in Sopha,in terra nempe Zabulon. Is ab ineũte ætate,dumq; iuuenis eſſet,uitam inculpatam egiſſe fertur. Super aduentu domini, de que uita functorum iudicio, nonnulla ab eo uaticinata ſunt. Quodq; ritus cũ legibus Moyſi terminabunt̃ ſeu conſummabuntur & emendabuntur. Cæterum quum populus eum uniuerſus ut uirum non minore ſanctimonia, quàm manſuetudine præditũ, coleret, indiderunt illi nomen Malachil: quod ſi quis interpretamentum requirat,ſonat angelus. Erat quippe forma oppidò quàm præſtanti. Quæcunq; præterea dixit in prophetia Malachias, uiſus eſt angelus ſe indies inſtituere & declarare,perinde ac factum temporibus quoque proditur Anarchiæ, quũ principatus exiſteret adhuc nullus, quem admodum traditum eſt in Spharphotim, quod eſt in uolumine Iudicum. Ante diem uero quum admodum iuuenis eſſet,propheta ille fato eſt functus, iuxtaq; maiores ſuos in proprio agello repoſitus eſt.

Ο ΤΟΥ ΒΙΟΣ ΖΑΧΑΡΙΟΥ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΖΑΧΑΡΙΑΣ ἄλλος προφήτης καὶ ἱερεύς. οὗτος ἦν υἱὸς Ἰωδαὲ τοῦ ἱερέως. πατὴρ δὲ ἰωάννου τοῦ βαπτιστοῦ τοῦτον ἀπέκτεινεν ἡρώδης ὁ βασιλεύς. ἐχόμενα τοῦ θυσιαστηρίου καὶ τοῦ οἴκου κυρίου καὶ ἐξέχεατο τὸ αἷμα αὐτοῦ εἰς τὴν πρόθυρα τοῦ ναοῦ κυρίου.

οὗτος καὶ ἦν ἐξ ἱερουσαλὴμ ἐξ οἴκου δαβίδ. ἀναμέσεν ἐλὰμ ἐν οἴκῳ κυρίου.

οὗτος ἐπροεφήτευσεν περὶ κυρίου γεννήσιος. Ἐκεῖ οὖν αὐτὸν ἔθαψαν ἐν οἴκῳ κυρίου ἐχόμενα ναοῦ κυρίου. ἐκ τότε ἐγίγνοντο τέρατα πολλὰ ἐν τῷ ναῷ, καὶ φαντασίαι.

Καὶ οὐκ ἴσχυον οἱ ἱερεῖς ἰδεῖν οὐκ ἔτι ὀπτάσιν ἀγγέλων. οὐδὲ δοῦναι χρησμοὺς τῷ λαῷ ἐκ τοῦ δαβείρ. οὔτε ἐρωτῆσαι ἐν τῷ ἐφοὺδ, οὔτε διὰ τῶν δήλων ἀποκριθεῖναι. ὥσπερ τὸ πρὶν ἕως τῆς ἡμέρας ταύτης.

Ο ΤΟΥ ΒΙΟΣ ΣΥΜΕΩΝ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΣΥΜΕΩΝ δὲ ὁ ἱερεὺς οὗτος ἦν, ἐκ φυλῆς ἀαρῶν. οὗτος ἐχρηματίσθη ὑπὸ πνεύματος ἁγίου τοῦ μὴ ἰδεῖν θάνατον ἕως ἂν ἴδῃ τὸν χριστὸν κύριον ἐν σαρκί.

οὗτος ἐβάστασεν τὸν κυρίου εἰς ταῖς ἰδίαις ἐγκάλαις.

Καὶ ἐδόξασεν τὸν θεὸν, εἰπών. Εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, Νῦν ἀπολύας τὸν δοῦλον σου δέσποτα κατὰ τὸ ῥῆμα σου ἐν εἰρήνῃ. Απέθανεν δὲ καὶ ἐτάφη πλησίον τῶν ἱερέων πρεσβύτης πλήρης ἡμερῶν.

Ο ΤΟΥ

ALIVS ZACHARIAE uita & obitus

ZACHARIAS adhuc alius fuit tum propheta, tũ ſacerdos, Iodaẽ ſacerdote ꝓgnatus, Ioãnis Baptiſtæ parens, quẽ Herodes ille tyrannus iuxta aram domumq; dei occidit, Effuſusq; eſt ſanguis eius in ueſtibulo templi domini. Is natione Hieroſolymitanus erat, de familia Dauid, officialis in domo domini. Inter cætera quæ uaticinatus eſt ille, de origine quoq; & natiuitate Chriſti nonnulla prophetauit. Eo igitur in loco propheta quũ in domo, tum à templo haud procul humatus eſt. Ex eo ſanè facta ſunt in delubro illo ſeu templo & oſtenta & ſtupenda miracula, phantaſiæ nempe, hoc eſt uiſiones. Cæterum ſacerdotes nequibant amplius neque angelorũ uiſa oculis uſurpare, neq; oracula ſiue reſponſa populo ex Dabir reddere. Neq; etiam poterant in Ephud per ſigna & portenta reſpondere, quemadmodum prius ſoliti fuerant, uſque ad tempus hodiernum.

SYMEONIS PROPHETAE uita & obitus

SYMEON ſacerdos è tribu Aaron emicuit. Hic quippe eſt is qui oraculum accepit à ſpiritu ſancto, Neutiquam uiſurum eſſe mortem, quouſque Chriſtum domini incarnatum cerneret. Hic eſt inquam ille qui geſtauit dominum in ulnis ſuis & glorificauit eum, referens, Viderunt oculi mei ſalutare tuum: Nunc dimittis ſeruum tuũ domine, ſecundum uerbũ tuum in pace. Fato functus eſt Symeon iſte pluribus quidem annis obſitus, & ætate multa confectus, nec porrò à ſacerdotibus, poſtremum conſecutus honorem humatus eſt.

Ο ΤΟΥ ΒΙΟΣ ΙΩΑΝΝΟΥ ΠΡΟΦΗΤΟΥ, καὶ ποῦ κεῖται.

ΙΩΑΝΝΗΣ ὁ βαπτιστὴς υἱὸς ζαχαρίου καὶ ἐλισάβετ. οὗτος ἦν ἐκ φυλῆς λευί. οὗτος ἐδήλωσεν ὑμῖν τὸν ἀμνὸν τοῦ θεοῦ. τὸν υἱὸν τοῦ πατρὸς τὸν αἴροντα τοῦ κοσμοῦ τὴν ἁμαρτίας.

οὗτος εἴσοδος ἡμῖν ἐγένετο τῆς τοῦ θεοῦ βασιλίας. οὐδεὶς γὰρ ἐν γεννητοῖς γυναίκων μείζων τῆς ἰωαννοῦ τοῦ βαπτισοῦς. Ἀπέθανεν δὲ τμηθεὶς τὴν κεφαλὴς παρὰ ἡρώδου διὰ ἡρωδιάδα τὴν γυναῖκα φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ.

ΕΠΙΛΟΓΟΣ.

ΚΑΙ ἄλλοι δὲ προφῆται ἐγένοντο ὧν τὰ ὀνόματα ἐν γέγραπται ἐν ταῖς αὐτῶν γενεαῖς ἐν βίβλῳ ὀνομάτων ἰσραὴλ ὧν οὐκ ἐμνημονεύσαμεν.

ΤΕΛΟΣ ΤΗΣ ΒΙΒΛΟΥ ΤΩΝ ΠΡΟΦΗΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΕΠΙΦΑΝΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΤΗΣ ΚΥΠΡΟΥ.

IOANNIS BAPTISTAE
quum uita tum obitus.

IOANNES Baptiſta, Zacharia natus & Elizabeta, è tribu Leui emicuit. Is eſt qui tanquam digito oſtendit nobis Agnum dei patris filium, qui tollit errata mundi. Hic mortalibus uiam præſtruxit, & fores patefecit regni dei. Nemo ſanè inter natos mulierum maior Ioanne Baptiſta. Functus eſt autem uita decollatus ab Herode Tyranno propter Herodiadem fratriam, puta Philippi fratris ſui maritam.

CONCLVSIO.

NONNVLLI porrò aliquot alij extitere, pphetæ, quorum nomina in Natalitijs eorum ſcripta comprehenduntur, libro ſcilicet Nomenclaturarum Iſraël, quorum nullam hic planè mentionem fecimus.

EPIPANII EPISCOPI CYPRI
de prophetarũ uita & interitu,
FINIS.

ΤΟΥ ΣΩΦΡΟΝΙΟΥ ΑΝΔΡΟΣ ΓΝΩΜΟΝΙΚΩΤΑΤΟΥ ΤΟ ΒΙΒΛΙΟΝ ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΕΥΑΓΓΕΛΙΣΤΩΝ ΒΙΟΥ.

ΒΙΟΣ ΤΟΥ ΑΓΙΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΜΑΤΘΑΙΟΥ.

ΜΑΤΘΕΟΣ. ὁ καὶ λευὶς, ἀπόστολος ἀπὸ τελωνῶν ἐν τῇ ἰουδαίᾳ πρῶτος διὰ τοὺς ἐκ περιτομῆς πιστεύσαντας εὐαγγέλιον τοῦ χριστοῦ γράμμασιν, καὶ ῥήμασιν ἑβραϊκοῖς συνετάξεν, ἀγνοουμένου τοῦ μετὰ ταῦτα εἰς ἑλληνικὸν τοῦτο μεταφράσαντος. τὸ δὲ ἑβραϊκὸν ἄχρι τήμερον ἐστὶν ἐν τῇ βιβλιοθήκῃ καισαρείας τῆς παρὰ παμφίλου μάρτυρος περισπουδάστως κατασκευασθείσης. Ἐμοὶ δὲ παρὰ τῶν ναζωραίων τῶν ἐν βεροίᾳ τῆς συρίας τούτῳ κεχρημένων, ἄδεια παρεσχέθη τῆς τούτου μεταγραφῆς, δι' οὗ ἐστὶν ἀκριβῶς πεισθῆναι, ὡς ἔνθα ἂν ὁ εὐαγγελιστὴς εἴτε ἐκ προσώπου οἰκείου, εἴτε ἐκ προσώπου τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ σωτῆρος ταῖς μαρτυρίαις κατακέχρηται τῶν παλαιῶν γραφῶν, μὴ ἀκολουθεῖν τῇ αὐθεντίᾳ τῶν ἑβδομήκοντα ἑρμηνευτῶν, ἀλλὰ τῇ ἑβραϊκῇ, ἀφ' ὧν τὰ δύο ἐστὶν ἐκεῖνα. ἐξ αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, καὶ ὅτι ναζωραῖος κληθήσεται.

ΒΙΟΣ ΤΟΥ ΜΑΡΚΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ.

ΜΑΡΚΟΣ μαθητὴς καὶ ἑρμηνευτὴς πέτρου, καθὼς τοῦ πέτρου ἐξηγουμένου ἀκήκοε, παρακληθεὶς ἐν τῇ ῥώμῃ παρὰ τῶν ἀδελφῶν, βραχὺ συνέταξεν εὐαγγέλιον. ὅπερ ἐντυχὼν πέτρος ἐδοκίμασε, καὶ τῇ ἐκκλησίᾳ ἀναγνωσθησόμενον αὐθεντίσας ἐξέδωκε, καθὰ συνεγράψατο κλήμης ἐν τῷ ἕκτῳ τῶν ὑποτυπώσεων λόγῳ. καὶ παπίας ἱεραπολίτης ἐπίσκοπος μέμνηται τούτου τοῦ μάρκου. καὶ πέτρος ἐν τῇ πρώτῃ ἐπιστολῇ ἐπ' ὀνόματι βαβυλῶνος, εἰκο

νικῶς

SOPHRONII VIRI APPRIME ERVDITI LIBELLVS, DE EVANGELISTARVM VITA, D. HIERONYMO INTERPRETE.

VITA SANCTI MATTHAEI EVANGELISTAE.

MATTHAEVS qui & Leui, ex publicano Apoſtolus, primus in Iudæa propter eos qui ex circunciſione crediderãt, euangelium Chriſti Hebraicis literis uerbiſq; compoſuit. Quod quis poſtea in Græcũ tranſtulerit, non ſatis certum eſt. Porrò ipſum Hebraicum habetur uſque hodie in Cæſarienſi bibliotheca, quam Pamphilus martyr ſtudioſiſſimè confecit. Mihi quoque à Nazaræis, qui in Berœa urbe Syriæ hoc uolumine utuntur, deſcribendi facultas fuit. In quo animaduertendum, quod ubicunque Euangeliſta, ſiue ex perſona ſua, ſiue ex perſona domini ſaluatoris, ueteris ſcripturæ teſtimonijs utitur, nõ ſequatur Septuaginta tranſlatorum autoritatẽ, ſed Hebraicã: è quibus illa duo ſunt: Ex Aegypto uocaui filium meum. Et, Quoniam Nazaræus uocabitur.

VITA SANCTI MARCI EVANGELISTAE.

MARCVS diſcipulus & interpres Petri, iuxta quod Petrum referentem audierat, rogatus Romæ à fratribus, breue ſcripſit Euangelium. Quod quum Petrus audiſſet, probauit, & eccleſiæ legendũ ſua autoritate ædidit, ſicut Clemẽs in ſexto ὑμοτυπώσιων libro ſcribit. Et Papias Hieroſolymitanus epiſcopus meminit huius Marci: & Petrus in epiſtola prima, ſub nomĩe Babylonis figura

νικῶς ῥώμην σημαίνων. Ἀσπάζεται ὑμᾶς φησὶν ἡ ἐν Βαβυλῶνι συν τῇ ἐκλεκτῇ, καὶ Μάρκος ὁ ἐμὸς υἱός. παραλαβὼν πιγαρούν τὸ εὐαγγέλιον ὅπερ αὐτὸς συνέταξε, καταλαμβάνει τὴν αἴγυπτον, καὶ πρῶτος ἐν ἀλεξανδρείᾳ ἰησοῦν χριστὸν κηρύττων, κατεσκεύασε ἐκκλησίαν. τοσαύτῃ παιδεύσει καὶ βίου καρτερίᾳ διέπρεψεν, ὥστε πάντας τοὺς ἀκολουθοῦντας τῷ χριστῷ ἔπεισε τῇ τούτου διαγωγῇ. ὅθεν καὶ Φίλων ὁ τῶν ἰουδαίων ἐλλογιμώτατος, ὁρῶν ἐν ἀλεξανδρείᾳ πρώτην ἐκκλησίαν ἔτι ἰουδαΐζουσαν, ὥσανεὶ εἰς ἔπαινον τοῦ οἰκείου ἔθνους, βίβλον περὶ τῆς τούτων διαγωγῆς συνεγράψατο. καὶ ὥσπερ λουκᾶς διηγεῖται τοὺς ἐν ἱεροσολύμοις πιστεύσαντας πάντα ἐσχηκέναι κοινά, οὕτως κἀκεῖνος ὅπερ ἐν ἀλεξανδρείᾳ ἐπὶ Μάρκου τοῦ διδασκάλου ἑώρα γινόμενον, τῇ μνήμῃ παρέδωκε. τελευτήσας δὲ τῷ ὀγδόῳ τοῦ νέρωνος ἔτει, ἀπετέθη ἐν ἀλεξανδρείᾳ. διαδεξαμένου αὐτὸν ἀνανίου.

ΒΙΟΣ ΤΟΥ ΛΟΥΚΑ ΕΥΑΓΓΕΛΙΣΤΟΥ.

Λουκᾶς ἰατρὸς ἀντιοχεύς, καθὼς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, τοῦ ἑλληνικοῦ οὐκ ἄπειρος, σπουδαστὴς παύλου ἀποστόλου, καὶ πάσης αὐτοῦ τῆς ἀλλοδαπῆς ἀκόλουθος, συνέταξεν εὐαγγέλιον, περὶ οὗ αὐτὸς παῦλος, ἀπεστείλαμεν φησὶ σὺν αὐτῷ τὸν ἀδελφόν, οὗ ὁ ἔπαινος ἐν τῷ εὐαγγελίῳ κατὰ πάσας τὰς ἐκκλησίας. καὶ πρὸς τοὺς κολασσαεῖς, ἀσπάσεται ὑμᾶς λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητός, καὶ πρὸς τιμόθεον, λουκᾶς ἐστὶ μετ' ἐμοῦ μόνος. καὶ ἕτερον δὲ ἐξέδωκε τεῦχος ἄξαιρετον, ἐπιγραφὴν πράξεις ἀποστόλων, οὗ ἡ ἱστορία ἕως διετίας διάγοντος ἐν τῇ ῥώμῃ παύλου ἐκτείνεται, τουτέστιν, ἕως τετάρτου νέρωνος ἐνιαυτοῦ. ἀφ' ὧν πεπείσμεθα ἐν τῇ αὐτῇ πόλει, τὴν βίβλον συντετάχθαι, ἡ γὰρ περίοδος παύλου καὶ θέκλας, καὶ πᾶς ὁ μῦθος ὡσανεὶ λέοντος βαπτισθέντος, εἰς τὰς ἀποκρύφους γραφὰς ψηφισθήσεται, οὐ δὲ γὰρ ἐνεχώρει τὸν ἀχώριστον τοῦ ἀποστόλου, μεταξὺ τῶν λοιπῶν αὐτοῦ πράξεων τοῦτο ἠγνοηκέναι.

ἀλλὰ

liter Romam ſignificans: Salutat uos quæ in Babylone cum electa, & Marcus filius meus. Aſſumpto itaq; Euangelio, quod ipſe confecerat, perrexit Aegyptum, & primus Alexandriæ Chriſtum annuncians, conſtituit eccleſiam tantæ doctrinæ & uitæ continentia, ut omnes ſectatores Chriſti ad exemplum ſui cogeret. Denique Philo diſertiſſimus Iudæorum, uidens Alexandriæ primam eccleſiam adhuc Iudaizantem, quaſi in laudem gentis ſuæ librum ſuper eorum cõuerſatione ſcripſit: & quomodo Lucas narrat, Hieroſolymæ credentes omnia habuiſſe communia, ſic ille quod Alexandriæ ſub Marco fieri doctore cernebat, memoriæ tradidit. Mortuus eſt autem octauo Neronis anno, & ſepultus Alexandriæ, ſuccedente ſibi Aniano.

VITA SANCTI LVCAE EVANGELISTAE.

LVCAS medicus Antiochenſis, ut eius ſcripta indicant, Græci ſermonis non ignarus fuit, ſectator Apoſtoli Pauli, & omnis peregrinationis eius comes, ſcripſit Euangelium, de quo idem Paulus:
Miſimus, inquit, cum illo fratrem, cuius laus eſt in Euangelio per omnes eccleſias. Et ad Coloſſenſes: Salutat uos Lucas Medicus chariſſimus. Et ad Timotheum: Lucas eſt mecum ſolus. Aliud quoque ædidit uolumen egregiũ, quod titulo, πράξεις ἀποστόλων, prænotatur, cuius hiſtoria uſque ad biennium Romæ commorantis Pauli peruenit, id eſt, uſque ad quartum Neronis annum. Ex quo intelligimus, in eadem urbe librum eſſe compoſitum.

Igitur περιόδους Pauli & Theclæ, & totam baptizati Leonis fabulam, inter apocryphas ſcripturas computamus.

Quale enim eſt, ut indiuiduus comes Apoſtoli, inter cæteras eius res, hoc ſolum ignorauerit?

Ἀλλὰ καὶ τερτυλλιανὸς ἐκεῖνον τὸν χρόνον ἀναφέρει πρεσβύτερόν τινα ἐν τῇ ἀσίᾳ, σπουδαστὴν παύλου ἀποστόλου, ἐλεγχθέντα ἐπὶ ἰωάννου, οἷα παρ' αὐτοῦ συνταγείσης βίβλου, ὡμολογηκέναι φίλτρῳ κατεχόμενον παύλου τοῦτο πεποιηκέναι, διὸ καὶ ἐκβεβλῆσθαι τοῦτον τινὲς ὑπολαμβάνουσιν. Ὁσάκις γὰρ παῦλος ἐν ταῖς οἰκείαις ἐπιστολαῖς λέγει, κατὰ τὸ εὐαγγέλιόν μου, δῆλον ὡς περὶ τοῦ τεύχους τὸν κατὰ λουκᾶν σημαίνει. καὶ λουκᾶν οὐ μόνον παρὰ τοῦ ἀποστόλου παύλου μεμαθηκέναι τὸ εὐαγγέλιον, οἷα μετὰ τοῦ κυρίου τηνικαῦτα ἐν τῷ σώματι μὴ γενομένου, ἀλλὰ καὶ παρὰ τῶν λοιπῶν ἀποστόλων, ὅπερ καὶ αὐτὸς ἐν τῇ ἀρχῇ τοῦ ἰδίου συντάγματος περιφανῶς λέγει. καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ' ἀρχῆς αὐτόπται. τοιγαροῦν τὸ εὐαγγέλιον καθὼς ἀκήκοεν ἔγραψε. τὰς δὲ πράξεις τῶν ἀποστόλων καθ' ἱστόρησεν αὐτὸς, καὶ συνέταξεν. ἠνέχθη τὰ λείψανα αὐτοῦ, καὶ ἀπετέθη ἐν κωνσταντινουπόλει, εἰς ἣν πόλιν τῷ εἰκοστῷ κωνσταντίνου ἐνιαυτῷ, τὸ τούτου σῶμα μετὰ τῶν λειψάνων ἀνδρέου τοῦ ἀποστόλου μετηνέχθη.

ΒΙΟΣ ΤΟΥ ΙΩΑΝΝΟΥ ΕΥΑΓΓΕΛΙΣΤΟΥ.

ΙΩΑΝΝΗΣ ὃν ἰησοῦς πάνυ ἠγάπησεν, υἱὸς ζεβεδαίου, ἀδελφὸς ἰακώβου τοῦ ὑπὸ ἡρώδου μετὰ τὸ πάθος τοῦ κυρίου ἀποκεφαλισθέντος, ἔσχατος πάντων ἔγραψεν εὐαγγέλιον, παρακληθεὶς παρὰ τῶν τῆς ἀσίας ἐπισκόπων, καὶ κατὰ κηρίνθου καὶ ἄλλων αἱρετικῶν, καὶ μάλιστα τηνικαῦτα τοῦ τῶν ἐμβιωνιτῶν δόγματος ἀνακύψαντος, τῶν φασκόντων τὸν χριστὸν πρὸ μαρίας μὴ γεγεννῆσθαι. ὅθεν ἠναγκάσθη τὴν θείαν γέννησιν αὐτοῦ εἰπεῖν. καὶ ἄλλην δὲ αἰτίαν τούτου τοῦ συγγράμματος φέρουσιν. ἀναγνοὺς γὰρ ματθαίου, μάρκου, καὶ λουκᾶ τὰ τεύχη, ἐδοκίμασε μὲν τὸ ὕφος τῶν ἱστοριῶν, καὶ ἀληθῆ αὐτοὺς εἰρηκέναι ἐβεβαίωσεν. ἑνὸς δὲ ἐνιαυτοῦ μόνον, ἐν ᾧ καὶ ἔπαθε, μετὰ τὴν φυλακὴν ἰωάννου τὴν ἱστορίαν συντάξαι. ἐάσας τοίνυν τὸν ἐνιαυτὸν οὗ τὰ πεπραγμένα παρὰ τῶν τριῶν διετέθη, τοῦ ἀνωτέρου χρόνου, πρὶν ἢ τὸν ἰωάννην ἐμβληθῆναι

εἰς

Sed & Tertullianus uicinus eorum temporum, refert presbyterum quendam in Aſia σπουδαστὴν Apoſtoli Pauli, coniunctum apud Ioannem, quod autor eſſet libri, & confeſſum ſe hoc Pauli amore feciſſe, & ob id excidiſſe. Quidam ſuſpicantur quotieſcunque in epiſtolis ſuis Paulus dicit, Iuxta Euangelium meum, de Lucæ ſignificare uolumine: Et Lucam non ſolum ab apoſtolo Paulo didiciſſe euangelium, qui cum domino in carne non fuerat, ſed à cæteris Apoſtolis: quod ipſe quoque in principio ſui uoluminis declarat, dicens: Sicut tradiderunt nobis, qui à principio ipſi uiderunt, & miniſtri fuerunt ſermonis. Igitur euangelium, ſicut audierat, ſcripſit. Acta uero Apoſtolorum, ſicut uiderat, compoſuit.

Vixit octoginta & quatuor annos, uxorem nõ habens. Sepultus eſt Conſtantinopoli, ad quam urbem uiceſimo Conſtantij anno, oſſa eius cum reliquis Andreæ Apoſtoli tranſlata ſunt de Achaia.

VITA SANCTI IOANNIS EVANGELISTAE.

IOANNES Apoſtolus, quem Ieſus amauit plurimum, filius Zebedæi, frater Iacobi Apoſtoli, quem Herodes poſt paſſionẽ domini decollauerat, nouiſſimus omnium ſcripſit euangelium, rogatus ab Aſiæ epiſcopis aduerſus Cerinthum, aliosque hæreticos, & maxime tunc Ebionitarum dogma conſurgens, qui aſſerunt Chriſtum ante Mariam non fuiſſe: Vnde & compulſus eſt diuinam eius natiuitatem edicere.

Sed & aliam cauſam huius ſcripturæ ferunt, quod quũ legiſſet Matthæi, Marci, & Lucæ uolumina, probauerit quidem textum hiſtoriæ, & uera eos dixiſſe firmauerit. Sed unius tantum anni, in quo & paſſus eſt, poſt carcerem Ioannis hiſtoriam texuiſſe.

Prætermiſſo itaq; anno, cuius acta à tribus expoſita fuerant, ſuperioris temporis antequam Ioannes clauderetur

εἰς τὴν εἱρκτήν, τὰς πράξεις διέθετο. καθὰ σαφηνισθῆναι δυνήσεται τοῖς ἐπιμελῶς τοῖς τέταρσιν εὐαγγελίοις ἐντυγχάνουσιν. ὅπερ καὶ τὴν διαφωνίαν τὴν δοκοῦσαν εἶναι ἰωάννου μετὰ τῶν λοιπῶν εἴργει. ἔγραψε δὲ μίαν ἐπιστολήν, ἧς ἡ ἀρχή ἐστι. ὃ ἦν ἀπ᾽ ἀρχῆς, ἥτις παρὰ πάντων τῶν ἐκκλησιαστικῶν καὶ πεπαιδευμένων ἀνδρῶν ἐγκρίνεται. Αἱ δὲ λοιπαὶ δύο, ὧν ἡ ἀρχή ἐστι πρώτης μὲν, ὁ πρεσβύτερος ἐκλεκτῇ κυρίᾳ, δευτέρας δὲ, ὁ πρεσβύτερος γαΐῳ τῷ ἀγαπητῷ, ἰωάννου πρεσβυτέρου λέγονται. οὗ ἔτι καὶ νῦν, ἕτερον μνῆμα ἐν τῇ ἐφέσῳ τυγχάνει. καί τινες νομίζουσι, τὰ δύο μνημεῖα ἰωάννου εἶναι τοῦ εὐαγγελιστοῦ, περὶ οὗ ἡνίκα κατὰ τάξιν εἰς παπίαν τὸν τούτου ἀκροατῶν ἔλθωμεν διηγησόμεθα. τοιγαροῦν τεσσαρεσκαιδεκάτῳ ἔτει, δεύτερον μετὰ νέρωνα διωγμὸν κινοῦντος δομετιανοῦ, εἰς πάτμον νῆσον περιορισθείς, συνέταξεν ἀποκάλυψιν, ἣν μετέφρασεν ἰουστῖνος μάρτυς καὶ εἰρηναῖος, σφαγέντος δὲ δομετιανοῦ, καὶ τῶν πράξεων αὐτοῦ διὰ τὴν πολλὴν ὠμότητα, παρὰ συγκλήτου ἀκυρωθεισῶν, ἐπὶ περτίνακος εἰς ἔφεσον ἀναζεύξας, ἕως τραϊανοῦ τοῦ βασιλέως ἐκεῖσε διατελέσας, πάσας τὰς τῆς ἀσίας ἐθεμελίωσε καὶ ᾠκοδόμηκεν ἐκκλησίας, καὶ λίαν γηράσας ἑξηκοστῷ ὀγδόῳ ἐνιαυτῷ, μετὰ τὸ πάθος κυρίου τελευτήσας πλησίον τῆς προειρημένης πόλεως ἠξιώθη τῆς κοιμήσεως.

ΤΕΛΟΣ ΤΟΥ ΣΩΦΡΟΝΙΟΥ ΠΕΡΙ ΤΟΥ ΤΩΝ ΕΥΑΓΓΕΛΙΣΤΩΝ ΒΙΟΥ.

In carcerem, geſta narrauit, ſicut manifeſtum eſſe poterit ijs, qui diligenter quatuor Euangeliorum uolumina legerint. Quæ res etiam διαφωνίαν, quæ uidetur Ioannis eſſe cum cæteris, tollit. Scripſit autem & unam epiſtolam, cuius exordium eſt: Quod fuit ab initio, quod audiuimus, & uidimus oculis noſtris: quod perſpeximus & manus noſtræ contrectauerunt de uerbo uitæ, quæ ab uniuerſis eccleſiaſticis & eruditis uiris probatur. Reliquæ autem duæ quarum principiũ eſt: Senior electæ domĩæ et natis eius, & ſequentis: Senior Caio chariſſimo, quem ego diligo in ueritate: Ioannis presbyteri aſſeruntur, cuius & hodie alterum ſepulchrum apud Epheſum oſtenditur. Et nonnulli putant duas memorias eiuſdẽ Ioannis Euãgeliſtæ eſſe, ſuper qua re quũ per ordinem ad Papiam auditorem eius uentũ fuerit, diſſeremus. Quartodecimo igitur anno, ſecundam poſt Neronem perſecutionem, mouente Domitiano, in Patmon inſulã relegatus, ſcripſit Apocalypſim, quam interpretantur Iuſtinus martyr, & Hirenæus. Interfecto autem Domitiano, & actis eius ob nimiam crudelitatem à Senatu reſciſſis, ſub P[illegible]e principe redit Epheſum, ibi'que uſque ad Traianum principem perſeuerans, totas Aſiæ fundauit rexit'que'eccleſias: & confectus ſenio, ſexageſimo octauo poſt paſſionem domini anno, mortuus iuxta eandem urbem ſepultus eſt

OPVSCVLI SOPHRONII DE EVANGELISTARVM VITA FINIS.

ΑΙ ΠΑΡΑΒΟΛΑΙ

ΚΑΙ ΤΑ ΘΑΥΜΑΤΑ ΑΠΕΡ ΤΩΝ ΕΥΑΓΓΕΛΙΣΤΩΝ ὁ ἕκαστος διηγεῖται, παρὰ τοῦ ΓΡΗΓΟΡΙΟΥ τοῦ ΝΑΖΑΝΖΗΝΟΥ ὃν καλοῦσι θεόλογον, στιχηδόν τε καὶ συνοπτικῶς ξυγγραφόμενα.

ΤΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΑ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ.

Ματθείης βίβλοισι τὰ θαύματα, ὅσσα πρὸς ἔρεξε
Χριστὸς ἄναξ βροτέῳ σώματι κιρνάμενος.
Πρῶτον μὲν λεπροῖο πικρὴν ἀπεσείσατο νοῦσον
Ἐκ δ᾽ ἑκατοντάρχου παιδὸς ἄπηξε μέλη.
Τὸ τρίτον αὖ Πέτρου ἑκυρῆς φλόγα ἔσβεσε χειρί.
Τέτρατον, οἶδμα μέγα εὔνασε καὶ ἀνέμοις.
Δαίμονας ἧκε σύεσσι τὸ πέμπτον, ἐν Γεργεσηνοῖς.
Ἕκτον, ἐπὶ κλίνῃ ἦρε βαρὺ μέλεσιν.
Ἕβδομον, ἀψαμένης πηγὴν χέθεν αἱμοῤῥούσης,
Ἄρχοντος θυγάτηρ, ὄγδοον εὗρε φάος.
Ἔνατον αὖ, τυφλοῖσι πόρεν φάος. ἐκ δ᾽ ἐλαθέντος
Δαίμονος, οὐ λαλέων ῥῆξε λόγον δέκατον.
Σαββάτῳ ἐν δέκατον, ξηρὴν χέρα λύσατο δεσμῶν.
Ὦατε δὲ δαιμονίου, κοῦατα δωδέκατον.
Ἐκ δεκάτοιο τρίτον, κοφίνους δυοκαίδεκα, πλῆσε,
Κἀνδρῶν χιλιάδας πέντ᾽ ἀπὸ πέντ᾽ ἀκόλων.
Τέτρατον ἐκ δεκάτου δὲ κιχήσατο νῆα πόδεσσι,
Τοῖς δ᾽ ὑπόειξε μέγας πόντον ὀρινόμενος.
Πέντε δὲ καὶ δέκατον, Χαναναίας πνεῦμ᾽ ἐδίωξε
Μητρὶ χαριζόμενος πολλὰ λιταζομένῃ.
Ἕκτον καὶ δέκατον, πυρίδας λίπον ἑπτ᾽ ἀπὸ ἑπτὰ
Ἄρτων χιλιάδες τέσσαρες, ἦν τε κόρος.
Ἑπτὰ δὲ καὶ δέκατον, θείῳ ἠλλάξατο μορφὴν,
Στράψας οἷσι φίλοις ἠελίοιο πλέον.

PARABOLAE

ET MIRACVLA QVAE A SINGVLIS
Euangeliſtis narrantur, uerſibus
breuiter à D. GREGORIO
NAZANZENO, quem
Theologū uocant,
conſcripta.

CHRISTI MIRACVLA SECVN-
DVM MATTHAEVM.

MATTHAEI libri miracula, quæcūq; fecit
Chriſtus rex, mortali corpori mixtus.
Primum quidem lepræ amarū excuſſit morbum,
Deinde Centurionis filij firmauit membra.
Tertiū rurſus, Petri ſocrus flammā extinxit manu.
Quartum, undam magnam ſedauit, & uentos.
Dæmonas immiſit ſuibus quintum in Gergeſſenis.
Sextum, ſuum lectum ſuſtulit grauis membris.
Septimū, attingentis fontem cohibuit ſanguinē fluentis.
Magiſtratus filia octauum inuenit lucem.
Nonum rurſus, cæcis præbuit lucem, ex abacto autem
Dæmone, non loquens fregit ſermonem decimum.
Sabbato undecimum ſiccam manum ſoluit à uinculis,
Oculos autem dæmonij, & aures duodecimum.
Decimumtertium, cophinos duodecim impleuit,
Et uirorum millia quinque, quinque panibus.
Quartumdecimum autem inuenit nauem pedibus,
His autem ceſſit magnus pontum agitans.
Quintum aūt & decimū, Chananeæ ſpiritū inſecutus eſt,
Matri gratificatus multum precanti.
Sextum & decimū cophinos liquerunt ſeptem è ſeptem
Panibus, millia quatuor, fuitq; ſatietas.
Septimū autem & decimum, diuinā immutauit formam,
Fulgens ſuis amicis ſole plus.

Ὀκτωκαιδέκατον δὲ σεληνιαίης ἀπὸ νούσου.
Ὡς ἱκέτευσε πατὴρ, λύσατο παῖδα φίλον.
Ἐννεακαιδέκατον, φάος ὄμμασιν ἐξ Ἱεριχοῦς.
Τυφλοῖς εἰνοδίοις δῶκε πορευόμενος.
Εἰκοστὸν δ' αὐγὰς πόρεν ὄμμασι, πηρά τ' ἔλυσε
Γούνατα, ἐξ ἱεροῦ λύματα πάντ' ἐλάσας.
Θαῦμα δὲ Βηθανίηθεν ἰὼν ποίησε μέγιστον,
Ξηρὴν αἶψα συκῆν, ὥς μιν ἄκαρπον ἴδεν.
Ἐκ δ' ἐχύθη σταυροῖο βαθὺ σκότος, οἰχομένοιο
Φωτὸς, καὶ νηοῦ εὐρὺ πέτασμα ῥάγη.
Γαῖα δὲ παλλομένη, γαίης ὕπερ ἔσχισε πέτρας,
Καὶ νέκυες τύμβους γεῖψαν ἀνεγρόμενοι.
Αὐτὰρ ὅγε, τριτάτῳ ἐνὶ ἤματι τύμβον ἀνοίξας,
Αὖθις ἑοῖσι φίλοις ἐν Γαλιλαίᾳ ἐφάνη.

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ, ΚΑΙ ΑΙΝΙΓΜΑΤΑ.

Εἰ δ' ἄγε καὶ σκοτίων αἰνίγματα δέρκεο μύθων.
Οἶκον ἐπὶ ψάμμου κείμενον ἀδρανέος.
Καὶ σπόρον, ὃς ἐπὶ γαῖαν ὁμοίιος ἦλθεν ἄνισος.
Καὶ σπόρον, ᾧ καλῷ σπέρματα ἐχθρὰ μίγη.
Καὶ δένδρον, ἔλιγον νάπυος σπόρον εἶτ' ἐν ἀλεύρῳ,
Ζύμην κρυπτομένην. ὤνιον ἀγρὸν ἔτι
Θησαυροῖο χάριν, καὶ μαργαρίτην πολύτιμον,
Ἔμπορος ὃν πάντων ἐπρίατο κτεάνων.
Καὶ νεπόδων ἕλκουσαν ἅπαν γένος ἐξ ἁλὸς ἄρκυν.
Αἰρομένου τ' ὤμοις πλαζόμενον πρόβατον.
Καὶ πικρῷ ἀρεράπμνῃ χρέους πέρι, πικρὸν ἄνακτα.
Καὶ πρώτοις πυμάτοις, μισθὸν ἔχοντας ἴσον.
Πεμπομένους τε υἱέας εἰς ἄμπελον οὐδὲν ὁμοίους,
Καὶ τοὺς κληρονόμον ὡσαμένους θανάτῳ.
Καὶ χεδίους νυμφῶνι φίλῳ πλήσαντας ἑορτήν.
Ἔνθεν ἀκοιμήτοις ἐν δαΐδεσσι κόρας.
Καὶ κύριον δούλοισι νέμοντ' οὐκ ἶσα τάλεντα.
Ἔμπαλιν αὖ, προβάτοις ἱσταμένους ἐρίφους.

ΤΟΥ

Octauum & decimum autem, Lunæ à morbo,
Vt rogauit pater, ſoluit filium charum.
Nonum & decimum, lumen oculis ex Hiericho
Cæcis uarijs dedit incedens.
Vigeſimum autem lumina præbuit oculis, mutilaq; ſoluit
Genua, è templo piacula omnia abigens.
Miraculum autem è Bethania ueniens fecit maximum,
Siccam autem ficum, quod ipſam infructuoſam uidit.
E cruce autem fuſæ ſunt profundæ tenebræ, pereunte
Luce, & templi pars lati ſciſſa eſt.
Terra autem uibrata, ſupra terram ſcidit ſaxa.
Et mortui ſepulchra liquere excitati.
Verum hic tertio in die ſepulchrum aperiens,
Rurſus ſuis amicis in Galilæa apparuit.

EIVSDEM PARABOLAE ET AENIGMATA.

EIa age & obſcurorum ſcirpos inſpice uerborum,
Domum in arena poſitam infirma.
Et ſementem, quod in terram ſimilis uenit inæqualis.
Et ſemen, cui bonæ ſemina inimica mixta ſunt.
Et arbor, paruum ſinapis ſemen, deinde in farina.
Fermentum cælatum, uenalem agrum inſuper.
Theſauri gratiam, & margaritam precioſam.
Mercator quam omnibus emit facultatibus.
Et piſcium trahentem omne genus è mari rete.
Tollentemq; humeris errantem ouem.
Et amaro ſeruo de debito, amarum dominum.
Et primis ultimos mercedem habentes parem,
Miſſosq; filos ad uitem nihil ſimiles.
Et hæredem pellentes morte.
Et rudes ſponſali cubiculo amicā cōplentes celebritatem.
Inde uigiles in facibus puellas.
Et dominum ſeruis tribuentem non æqua talenta.
Contrà rurſus, pecoribus ſtantes hedos.

ΤΟΥ ΑΥΤΟΥ ΘΑΥΜΑΤΑ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

Παῦρα δ' Ἰωάννου, δή ῥα ἱερῇ ἐνὶ βίβλῳ
Θαύματα δή, πολλοὺς δὲ λόγους χριστοῖο ἄνακτος.
Ἦν γάμος. οἰνοχόοι δ' ἐκέρων ἐξ ὕδατος οἶνον.
Εἶπε, καὶ υἱὸς ἄνουσος ἔην κάμνων βασιλίσκου.
Εἶπε, λέχος δ' ἀνάαρεν, ὃς σὺ φύγε δεσμὰ λοετροῖς.
Πέντε δ' ἔπατ' ἄρτων τέλεσεν τέρας. ἔνθεν ὁδεῦσι
Πόντον ὑπερζείοντα γὰρ ἐξεσάωσε μαθητάς.
Τυφλὸν δ' ἐκ γενετῆς ἰήσατο πηλὸν ἀλείψας.
Τέτρατον ἦμαρ ἔην, καὶ Λάζαρος ἔγρετο τύμβου.
Αὐτὰρ ὅ, καὶ νεκύεσσι θάνεν, καὶ ζῶσιν ἀναστὰς,
Χριστὸς ἄναξ ἀναφανδὸν ὁμίλεεν οἷς ἑτάροισι.

ΤΟΥ ΑΥΤΟΥ ΘΑΥΜΑΤΑ ΚΑΤΑ ΛΟΥΚΑΝ.

ΛΟΥΚΑΣ δ' ἄλλα δὶς ἑπτὰ θεοῦ τάδε θαύματ' ἔγραψε
Παύλῳ, θαρσαλέος χριστοῦ μεγάλῳ θεράποντι.
Δαίμων, καὶ πυρετὸς, καὶ δέρπη, καὶ παράλυσις.
Εἶξε λόγῳ, καὶ χεὶρ πίνατο καρφαλέη.
Εἶθ' ἑκατοντάρχοιο λελυμένον ἤδρασε παῖδα.
Χήρῃ τ' ἐκ νεκύων ἐν Ναῒμ υἷα πόρε.
Τὴν δὲ μύρῳ χρίσασαν ἁγνοὺς πόδας, ἥγνισε μύθῳ
Καὶ στῆσεν ἀνέμοις, καὶ λεγεῶνα, μέγαν.
Αἵματος ἔχε ῥύσιν, καὶ Ἰαείροιο θύγατρα,
Ἤγαγεν ἐς ζωήν, πέντε δ' ἀρ ἐξ ἀκόλων
Καὶ δυοῖ ἰχθυδίων, ἐν ἐρήμῳ πέντε ποτ' ἀνδρῶν
Θρέψεν χιλιάδας. εἶδος ἦκε σέλας
Δαίμονα τηλυγέτοιο πικρὸν ἀποέργαθε παιδός.
Καὶ τὸν ἄλαλον γλώσσης ἥμενον. ὡς δὲ πάλαι
Ἑβραίην συγερῇ νόσῳ κλίναντα γυναῖκα,
Καὶ μὴν καὶ ὑδέρου ὄγκον ἀπεσκέδασε.
Καὶ λεπροὺς ἐκάθηρε δέκα, τῶν, εἷς σαμαρείτης.
Τυφλῷ τ' ἐξ ἱεριχοῦς φῶς πόρεν εἰνοδίῳ.
Οὖά τ' ἀποψύχοντος ἴδον σημήϊα χριστοῦ.
Ἐς δ' ὡς ἐκ νεκύων οἷσι φίλοισι φάνη.

ΤΟΥ

EIVSDEM MIRACVLA SECVN DVM IOANNEM.

PAuca autem Ioannis diſces in libro
Miracula ſanè, multos autē ſermones Chriſti regis.
Erant nuptiæ, pincernæ autem fundebant ex aqua uinū.
Dixit, & filius ſine morbo fuit ægrotans reguli.
Dixit, lectum autem ſuſtulit, qui nō fugit uincula balneis.
Quinque deinde panū fecit oſtentum; inde gradiebatur
Mare efferuens, & ſeruauit diſcipulos.
Cæcum autem à natiuitate curauit luto ungens.
Quartus dies erat, & Lazarus excitatus eſt è ſepulchro,
Verum hic & ob mortuos perijt, & uiuentibus reſurgens
Chriſtus rex manifeſte conuerſabatur ſuis ſocijs.

EIVSDEM MIRACVLA SECVNDVM LVCAM.

LVcas uero alia bis ſeptem dei hæc miracula ſcripſit
Paulo, fidens Chriſti magno ſeruo.
Dæmon, & febris, & lepra, & paralyſis,
Ceſſit uerbo, & manus extenſa eſt ſicca.
Deinde Centurioni ſolutum firmauit filium,
Viduæq; à mortuis in Naim filium præbuit.
Vnguento autē ungentē ſanctos pedes, luſtrauit uerbo,
Et firmauit uentos, & legionem magnam,
Sanguinis cohibuit fluxum, & ſacerdotis filiam
Duxit in uitam. quinque autem ex panibus,
Et duobus piſciculis, in ſolitudine olim quinque uirorum
Aluit millia, ſpeciei emiſit lucem.
Dæmonem à charo amarum prohibuit puero,
Et qui in lingua ſedebat, ut autem iam diu
Hebræam odioſo morbo acclinantem mulierem,
Quippe etiam & hydropis tumorem diſſipauit,
Et leproſos expurgauit decem, quorum unus Samarita,
Cæcoq; ex Hiericho lucem præbuit uiario.
Quæcunq; morientis uiderunt ſigna Chriſti,
Atque ut à mortuis ſuis amicis apparuit.

ΤΟΥ ΑΥΤΟΥ ΠΑΡΑΒΟΛΑΙ ΔΙ' ΙΑΜΒΩΝ.

Παροιμιῶν δὲ Λουκᾶς ἐμνήσθη τόσων,
Τοῦ θέντος ἕδραν ἀσφαλῆ πέτρης ὕπερ,
Καὶ τοῦ παθόντος εὖ πλέον, καὶ τὸ πλέον
Στέργοντος· εἶτα τοῦ σπόρου εἰς τέσσαρας
Φύσεις πεσόντος γῆς. ἔπαθ' ὁδοιπόρου
Λῃσταῖς πεσόντος, εἶτ' ἀωρὶ πρὸς θύρας
Ἐλθόντος αἰτεῖν, κοὐ πονηρὰ λαμβάνειν.
Ἀκάθαρτον εἶτα πνεῦμα δ' εἰσοικίζεται
Ἑπτὰ ξὺν ἄλλοις, καὶ μάτην τις ἐλπίσει
Καρπῶν γέγηθεν ἀγνοῶν οἷ στήσεται.
Ἐκ τῶν γάμων δ' ἤκουσε, γρηγορητέον
Χριστῷ καλῶς τε τῇ θεραπείᾳ χρηστέον
Συκῆν τ' ἄκαρπον ταῖς κόπροις ἐπωφελεῖν.
Νάπυ. ζύμη τε, καὶ πένητες ἐν γάμῳ
Χαράν τε δραχμῆς εὑρέσει, καὶ θρέμματος.
Πατήρ τε παίδων τῷ πεσόντι συμπαθής.
Εἶτ' οἰκονόμος τι τῶν χρεῶν χαρίζεται
Κλεπτῶν προμηθῶς. Λάζαρος καὶ πλούσιος.
Ἐκεῖθε χήρας ἀξίωσις εὔτονος.
Εἶτ' αὖ τελώνης, καὶ φαρισαίου τῦφος,
Καὶ μνῶν μερισμὸς, ἰσάριθμος τοῖς δέκα.
Κακοὶ γεωργοὶ καὶ φονεῖς τοῦ δεσπότου.

ΤΑ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΑ ΚΑΤΑ ΜΑΡΚΟΝ.

Μάρκος δ' Αὐσονίοισι θεοῦ τάδε θαύματ' ἔγραψε,
Πέτρῳ θαρσαλέος Χριστοῦ μεγάλῳ θεράποντι.
Δαίμων, καὶ πυρετὸς, καὶ λέπρα, χεὶρ παράλυσις
Εἶξε λόγῳ Χριστοῦ, μετέπειτα δὲ χεὶρ ἐτανύσθη
Ξηρή. καὶ ἀνέμων λῆξε μύθος, ἠδὲ θαλάσσης.
Καὶ λεγεὼν ὑπόειξε, καὶ αἱματόεσσαν ἔπαυσε
Πηγὴν, καὶ θυγατρὶ ζωὴν πόρεν Ἰαείροιο.
Πέντε δ' ἄρ' ἐξ ἄρτων πολλοὶ τράφεν. ἔνθεν ἔδησε
Πόντον ἐπιστείβων. μετέπειτα δὲ, πνεῦμ' ἐδίωξε
Φοινίσσης, Τυρίοισι τέρας καὶ Σιδονίοισι
Κωφόν τ' οὐλαλέον, θρέψεν πάλιν ἑπτὰ κόλοισιν
Ἀνδρῶν χιλιάδας, καὶ τυφλὸς ἴδεν φάος, εἶτα

Καὶ

EIVSDEM PARABOLAE PER IAMBOS.

PRouerbiorum autem Lucas mentionem fecit tot,
Eius qui poſuit ſedem tutam ſupra petram,
Et eius qui paſſus erat bene plus,& plus
Amantis. deinde ſeminis in quatuor
Naturas cadentis terræ, deinde uiatoris
Prædonibus incidentis. deinde intempeſta ad fores
Profectus quis petit,& non mala accipit.
Impurus deinde ſpiritus uero introducitur
Septem cum alijs, & fruſtra quis ſpebus
Fructum delectatus eſt ignorans quo ſtabit,
E nuptijs autem uenienti, uigilandum eſt
Chriſto,beneq́ʒ ſeruitio utendum,
Ficumq́ʒ ſterilem ſtercoribus adiuuare
Sinapi,fermentumq́ʒ,& pauperes in nuptijs.
Gaudiumq́ʒ drachmæ inuentione,& pecoris,
Paterq́ʒ puerorum cadenti compatiens,
Deinde diſpenſator aliquid debitorum largitur
Furum prouidenter, Lazarus & diues,
Inde uiduæ rogatio ualida.
Deinde rurſus publicanus,& phariſſæi ſuperbia,
Et minarum partitio, æqualis numero decem,
Mali agricolæ, & interemptores domini,

CHRISTI MIRACVLA SECVNDVM MARCVM.

MArcus uero Auſonijs dei hæc miracula ſcripſit
Petro fidens Chriſti magno ſeruo.
Dæmon, & febris,& lepra, & reſolutio membrorum
Ceſſit uerbo Chriſti. poſtea uero,manus extenſa eſt
Sicca,& uentorum deſijt furor atque maris,
Et legio ceſſit,& ſanguinolentum ſedauit
Fontem, & filiæ uitam præbuit Iairi,
Quinque uero panibus,multi alti ſunt,inde uinxit
Pontum ſuperambulans, poſt uero ſpiritum expulit
A Phœniſſa, Tyris oſtentum & Sidonijs,
Surdumq́ʒ non loquentem. aluit rurſus ſeptem panibus
Virorum millia,& cæcus uidit lucem. deinde

καὶ μορφῆς ἀπέπεμψε σέλας, καὶ δεσμὸν ἔλυσε
γλώσσης πνεῦμ' ἐλάσας, βαρυλαλοῦ, ὅς τε φάος δὲ
τυφλὸς ἐξ Ἱεριχοῦντος ἐσέδρακεν. ὡς δὲ ἄκαρπον
εὗρε συκῆν χατέων, νεκρὰν ἔθηκε λόγῳ.
τυφλοὺς δ' αὖ χωλούς τε ἰήσατο ἐγγύθι νηοῦ.

ΠΑΡΑΒΟΛΑΙ ΤΩΝ ΤΕΣΣΑΡΩΝ ΕΥΑΓΓΕΛΙΣΤΩΝ.

Δείδω μὴ βιότοιο θεμείλιον ἐν ψαμάθοισι
βαλλόμενος, ποταμοῖσι καὶ ἐν ἀνέμοισι κεδασθεὶς
Ἢ σπόρος ὡς ἐπὶ γαῖαν ἰὼν ξηρὴν καὶ ἄκαρπον,
Ὦκα μὲν ἀντίλαιμι, τάχιστα δὲ αὖος ἔοιμι
Ἠελίοιο βολῇσι τυπείς, καὶ πήμασι τυτθοῖς.
Ἢ μὲ φάγοι πετεινά, καὶ ἐκθρέψειαν ἄκανθαι,
Μὴ δέ μοι ὑπνώοντι κακὸν σπόρον ἐγκαταμίξῃ
Ζιζανίων ἀροτήρ τε κακῶν, καὶ βάσκανος ἐχθρός.
Μὴ δ' ἄρ' ὁμοῦ χλάσσι βαλὼν ἐπὶ χεῖρα φυτοῖσιν
Ἐσθλοῖς ἠδὲ κακοῖσι, πρὶν ἐν σταχύεσσι σταθῆναι.
Σύν που ζιζανίοισι καλὸν φυτὸν ἐξολέσαιμι.
Πάντων γὰρ ποιοῖς δ' νοήμονα χεῖρ' ἐπιθεῖναι,
Ἔνθ' ἀρετὴ κακίη τε διάνδιχα ναιετάουσαι,
Ἀγχίθυροι γεγάασι, κακὸν δ' ἐπιτέλλεται ἐσθλῷ.
Αἰνῶ τὸν ὀλίγον νάπυος σπόρον, ὡς ὀλίγος μέν,
Δενδροῦται δ' τάχιστα, καὶ ἐς τόσον ὕψος ὀδεύει,
Ὥς τε καὶ ὀρνίθεσσι πέλειν σκέπας ἠερίοισι.
Μάργαρε τιμία καὶ κύδιμε, σοῦ δ' ἄρ' ἐγώ γε
Κάλλεος ἱμείρων, μέγας ἔμπορος αἴθε γενοίμην.
Πάντων δ' ὅσσα μοι ἐστὶ μέχρις πυμάτοιο χιτῶνος
Ὤνιον ἀντιλλάσσοιμι φίλον κτέαρ ὥσπερ ἅπαντας
Πλούτῳ νικήσαιμι, πεπαμένος οἷον ἀπ' ἄλλων.
Ἢ θησαυρὸν ἀγροῖο μυχοῖς ἐνικρυπτὸν ἐόντα.
Οἶδα δ' ἐγὼ καὶ κόσμον ἔσω πίπτοντα σαγήνης,
Ὦ Χριστοῦ βασιλῆος ὑποδρήσσοντες ἐφετμαῖς,
Ἀνθρώπων ἁλιῆες ἐὰν λίνον ἀμφὶς ἔθηκαν,
Ὡς ἁλὸς ἐξερύσωσι βυθῶν, ὀπάσωσι δὲ Χριστῷ
Μηχομένους πικροῖς ἐνὶ κύμασι τοῦδε βίοιο.
Ἀλλ' ὁπόταν κρίνῃς ἁλίην. διάνδιχα τέμνῃς,
Μυίμ' ἀπὸ τῆλε βάλοις, ἀργύριον οἷα περ ἰχθύν.
Ἄγγεσι δ' ἐγκατάθεο φυλασσόμενον βασιλῆϊ.

Et formæ remiſit ſplendorem, & uinculum ſoluit
Linguæ, ſpiritum agens. Bartillæusq; lucem
Cæcus ex Hierichunte uidit. ut autem ſterilem
Inuenit ficum indigens, mortuam fecit uerbo.
Cæcos uero rurſus, claudosq; curauit prope templum.

PARABOLAE QVATVOR EVANGELISTARVM.

Timeo ne uitæ fundamentum in arenis.
Iaciens, fluuijs & à uentis diſſiper:
Vel ſemen ut in terram ueniens ſiccam & ſterilem,
Celeriter quidem exorier, celerrimè autem ſiccus ſim
Solis iactibus percuſſus, & damnis paruis.
Aut me edant uolatilia, & atterant ſpinæ.
Neq; mihi dormitanti malum ſemen immiſceat
Zizaniorum, aratorq; malorum, & inuidus inimicus.
Neq; uero ſimul uirentibus inijciens manum plantis
Bonis, atq; malis prius, q̃ in ſpicis ſtet,
Cum zizanijs fortè pulchram plantam perdam.
Paucorũ em̃ eſt huiuſmodi intelligentẽ manũ imponere,
Vbi uirtus uitiumq; bipartito habitantes,
Propinqui fores natæ ſunt, malum autem exoritur bono,
Laudo paruum ſinapis ſemen, quod paruum quidem,
Arboreſcit autem celerrimè, & in tantam altitudinẽ pro-
Vt & ab auibus ſit tegumentum aërijs. (ficiſcitur
Margarita precioſa & glorioſa, tuam uero ego quidem
Pulchritudinẽ deſiderans, magnus mercator utinã ſiam:
Omnium aũt quæcunq; mihi ſunt uſq; ad extremã tunicã,
Venalem prendam charam facultatem, ut omnes
Diuitijs ſuperem, poſſidens tanquam ab alijs,
Aut theſaurum agri latebris in abſconſum exiſtentem,
Scio ego & mundum intro cadentem rete.
Cui Chriſti regis ſubminiſtrans præceptis.
Hominum piſcatores ſuum fibrum circumpoſuerunt,
Vt maris extrahãt profunditatibus, præbeãt aũt Chriſto
Natantes amaris in undis huius uitæ,
Sed cum iudicaueris marinam in duas partes ſeces,
Ne me longe abieceris, inutilem ueluti piſcem,
Vaſibus autem impone ſeruatum regi,

Ἐς μεγάλην δὲ θεοῖο καλὴν ἐριθηλέ' ἀλωὴν,
Ἠῶος μὲν ἔβην, καὶ πλείονα μόχθον ἀνέτλην.
Μισθὸν δ' ἶσα τίοισιν ἴσον, καὶ κῦδος ἔχοιμι
Τίς φθόνος, εἰ μόχθοισι πόθον θεὸς ἀντιφερίζει;
Πέμπε πατὴρ υἷας ἐς ἄμπελον, ὥς κομέοιεν.
Τὸν πρότερον, πρότερον. ὃ δ' ἄρα πρόφρων ὑπέδεκτο,
Οὐ μὴν ἐξετέλεσσε πατρὸς πόθον, ὥσπερ ὑπέστη.
Αὐτὰρ ὅ γ' οὐχ ὑπέδεκτο, καὶ ἐξετέλεσσεν ἐφετμὴν
Ὁ πλότερος. κρείσσων μὲν ἐμοὶ, γλυκίων δὲ τοκῆϊ
Ἀμφοτέρων, ὃς ἔδεκτο. καὶ ἐξετέλεσσεν ἐέλδωρ.
Κληρονόμον δ' ὀλέσαιεν, ὅσοι πυρὸς. ἐκτὸς ἀλωῆς.
Ἐστὶ γάμος, τὸν, παιδὶ πατὴρ φίλος ἐσθλὸς ἀρίστῳ
Δαίνυσι καγχαλόων. τοῦ δ' ἀντιάσαιμι ἔγωγε.
Τοῦ δ' ἐγὼ ἀντιάσαιμι, καὶ ὃς φίλος ἐστὶν ἔμοιγε.
Μίμνοι δ' ἔκτοθι κεῖνος, ὅς τις πρὸ γάμοιο τίθησιν
Ἢ ἀγρὸν ἠὲ βοῶν ζεῦγος νέον ἠὲ δάμαρτα
Μήτ' ἐνὶ δαιτυμόνεσσι γαμήλιον εἶδος ἔχοισιν,
Εἵματ' ἔχων ῥυπόωντα, δεθεὶς χεῖράς τε πόδας τε,
Νυμφῶνός τε, γάμου τε φίλων τ' ἀπὸ τῆλε πέσοιμι.
Ἡνίκα δ' αἰθομένῃσιν ἁγνῶν δεκὰς ἐν δαΐδεσσι
Παρθένοι ἐγρήσσουσαι, ἀκοιμήτοις φαέεσσι
Νυμφίον ἱμερόεντα θεὸν δοκέωσιν ἄνακτα,
Ὡς λαμπραὶ γανόωντι ὑπαντήσωσιν ἰόντι,
Μή μ' ἐνὶ ταῖς κενεῇσι νόον, καὶ ἄφροσι θείης,
Μὴ δ' ὀλιγοδρανέον δαΐδων σέλας ὄμμασι λεύσσων,
Ἠδ' ἤπου χρισοῖο παρεσσομένου μογεούσαις,
Οἷ ἐφαῦσε ζωῆς ὑγρὸν ποθέοιμι ἔλαιον.
Μηδὲ μὲ κληϊσθεῖσα γάμων ὤσαιτο θύρετρα,
Ἔνθα λόγος καθαροῖσι πόθου μεγάλοισιν ὑπὸ δεσμοῖς
Μιγνύμενος κραδίαις θάρσος καὶ κῦδος ὀπάζει.
Ἐκ δὲ γάμων παλίνορσος ἄναξ ἐμὸς εὖτ' ἂν ἐπέλθῃ,
Ἐξαπίνης δοκέουσι καὶ οὐ δοκέουσιν ἐπιστὰς,
Εὕροιμ' ἐν δοκέουσι, καὶ αὐνόσσει φόβοιο
Ὡς ἀγαθὸν θεράποντα, καὶ ἤπιον ἀρχομένοισι.
Καὶ σίτοιο δοτῆρα, λόγου στερεοῖο φέριστον.
Σχιζομένων τ' ἐρίφων καὶ οἴων ἤματι πικρῷ,
Ἀνδρῶν εὐσεβέων τε καὶ οὐχ ὁσίων ἑκάτερθεν
Στήσαις μή μ' ἐρίφοις ἐναρίθμιον, ἀλλ' οἴεσσι

In magnam autem dei pulchram pululans uineam,
Matutinus quidem ueni,& plus laboris toleraui.
Mercedem autem ultimis æquam,& gloriam habeam.
Quæ inuidia, ſi laboribus deſiderium deus opponit?
Mitte pater filios ad uitem,ut alant,
Priorem prius,hic uero promptus excepit,
Nõ tamẽ perfecit patris deſideriũ, quemadmodũ pollici-
At hic non ſuſcepit,& perfecit mandatum (tus eſt,
Iunior,præſtantior quidem mihi dulcior autem parenti,
Amborum qui excepit, & perfecit deſiderium,
Hæredem autem perderent,quicunq; ignis,extra uineam
Sunt nuptiæ, quas filio pater charus bonos optimo
Epulatur lætabundus,his occurram ego ſanè,
His ego occurram,& qui amicus eſt mihi quidem,
Maneat autem extra ille quiſquis ante nuptias ponit,
Aut agrum,aut boum iugum nouum,aut uxorem.
Neq; in conuiuijs nuptialem ſpeciem habentibus
Veſtes habens ſordentes,uinctus manusq;,pedesq;
Cubiculiq;,nuptiarumq;,amicorum à longe cadam,
Quum autem accenſis ſanctarum decas in facibus
Virgines uigilantes,inſedatis luminibus
Sponſum deſiderabilem deum expectent regem
Vt ſplendide nitenti occurrant uenienti,
Ne me inter uacuas mente,& fatuas poſueris,
Neq; infirmum facum lumen oculis ſpectans,
Iam forte Chriſto adfuturo laborantibus,
Serilucæ uitæ humidum deſiderem oleum,
Neq; me clauſum nuptiarum pellant fores,
Vbi ſermo eſt puris deſiderio magnis ſub uinculis
Mixtus cordibus fiduciam & gloriam præbeat,
E nuptijs autem reuertens rex meus quum acceſſerit,
Extemplò expectantibus & nõ expectãtibus ſuperſtans,
Inueniat me inter expectatores,& laudet timoris
Vt bonum ſeruum,& mitem ſubiectis,
Et frumenti datorem,ſermonis ſolidi optimum.
Sciſſisq; hœdis & ouibus die amaro,
Virorum,piorumq; & non ſanctorum utrinq;
Statuas ne me hœdis annumeratum,ſed ouibus

Δεξιτερὴν παρὰ χεῖρα, μένοι τ' ἐνὶ χείροσι λαιῇ.
Λύχνος δ' ἠέλιος ἔμοι γε φαεσφόρος ἔκτοθι λάμποι
Λυχνίης καθύπερθε, καλὸν δ' ἔστι καὶ θεὸν οἷον
Ἴδμεναι ὃς πάντεσσιν ἐπίσκοπον ὄμμα τίθησιν.
Αἰεὶ δὲ στέργοιμι θεὸν πλέον, εἴτε τι πικρὸν,
Εἴτ' ἀγαθὸν παρέχοι. πᾶν γὰρ καλόν. εἰ δὲ τυπείην
Ἀνισαῖς, μεγάλης καιῶν ἀπὸ χρυσοπόληος,
Μή με λίπῃς χείρεσσιν ὑπ' ἀνδροφόνοισι δαμῆναι.
Εἰ δὲ πνεῦμ' ἐλάσειας ψυχῆς ἀπὸ, μηκέτ' ἀεργὸν
Εὑρὼν σὺν πλεόνεσσι καταδράμοι ἐχθρὸς ἐμεῖο.
Μὴ δὲ συκῆν ὀλέσειας ἀχρεῖον, ἀλλ' ἔτι καρπὸν
Ἔλπεο, μὴ δὲ τέμῃς μιν ἄναξ, κομέον δέ τ' ἐγείρειν
Δραχμήν τε πρόβατόν τε, παῖν τ' ἀπὸ πάντ' ὀλέσαντα
Εὑρὼν, τὴν μὲν, ἔραζε, τὸ δ' οὔρεσι, τὸν δ' ὑπὸ ποσσὶν
Οἰκτρὸν ὑποστρέψαντα πατρώϊον ἐς δόμον. ὦναξ.
Αὖθις ἀριθμήσειας ἐνὶ υἱάσι, θρέμμασι, δραχμαῖς
Μὴ δ' ἀραθοῦ βασιλῆος ἐμοῖς παθέεσσιν ἐόντος,
Πρηκτὴρ αὐτὸς ἔοιμι πικρὸς χρυσοῖς ὁμοδούλοις.
Καὶ χρεῶν κόψαιμι λαβὼν πινυτόφρονι βουλῇ,
Ὡς κεν χρηίζων ποτ' ἐσύστερον ἄλκαρ ἔχοιμι.
Λάζαρος ἐνθάδ' ἔοιμι, καὶ ὕστερον, ἄλλος ἀγήνωρ
Ἐνθάδε, κεῖθι δ' ἄτιμος ἔχων φλόγας ἀντὶ κόροιο.
Εἴην μὴ μεγάλαυχος, ἐπεὶ κακὸς πλώνης.
Δακρύρυσιν οἶκτον ἔχοιμι, φαρισαῖοι δὲ πέσοιεν.
Χήρην δ' εἴποτ' ἐμοῖο παρὰ προθύροις μογέουσαν
Ἄπρηκτον πέμψαιμι, καὶ οἱ λίθον ἢ ὄφιν οἷον
Ἀντ' ἄρτοιο φίλοιο, καὶ ἰχθύος ἡδυβόροιο
Ἐχθρὰ φιλοθρονέων, παλάμης δ' ἀπὸ τῆς δ' ὀρέγοιμι.
Τοίων ἀντιτύχοιμι θεοῦ πάρα. εἰ δ' ἀποθήκας
Τὰς μὲν σφρηγὶς ἔχει, τὰς δ' ἐλπίδες ὦκα θέουσαι
Ἤδε με νὺξ ὀλέσειε σὺν ἀδρανέεσσιν ὀνείροις
Οὐ δὲ μὲν οὐ δὲ τάλαντον, ὅ μοι θεὸς ἐγγυάλιξε
Πλειοτέρην ἄλλοισι μετρῶν χάριν, εὔχομ' ἔγω γε
Τοῦτο μένειν παλάμῃσιν ἐν ἡμετέρῃσιν ἀεργόν.
Ἠὲ μνᾶν φισικεῖο λόγου χάριν ἰσονέμητον,
Ἀλλ' ἔργον τ' ἐπάσαιμι, κλέος τ' ἐπὶ τ' ἄντα τύχοιμι.
Μὴ δὲ δίκην τίσαιμι πικρὴν, καὶ αἶσχος ἔχοιμι.

ΤΕΛΟΣ.

Dextram apud manũ,maneatq́ꝫ in deterioribus ſiniſtra.
Lucerna autẽ quædã mihi qdẽ lucifera extrinſecus luceat
Lucernariũ deſuper, pulchrum autem quid & deũ ſolum
Noſſe,qui omnibus inſpectantem oculum ponit
Semper autem amem deum plus,ſiue quid amarum,
Siue bonum præbeat,omne enim bonũ,ſi autem uerberet
Prædonibus,magna deſcendens à Chriſti urbe,
Ne me linquas manibus ab homicidis domitari.
Si uero ſpiritum abiges ab anima, non ulterius ocioſum
Inueniens,cum pluribus percurrat inimicus mei.
Neqꝫ ficum perdideris inutilem,ſed adhuc fructum
Spera,neqꝫ incidas ipſam rex,aleas autem erigere
Drachmamq́ꝫ ouemq́ꝫ filiumq́ꝫ omnia perdentem,
Inueniens,hanc quidẽ humi, hoc aũt montibus, hũc uero
Miſerabilem reuertentem paternam in domum ,ô rex,
Rurſus numeraueris inter filios,pecora,drachmas.
Neqꝫ bono rege meis affectionibus exiſtente,
Actor ipſe ſim amarus bonis conſeruis,
Et aliquid debitorum ſcindam latens prudenti conſilio,
Vt indigens olim in poſterum auxilium habeam,
Lazarus hic ſim,& poſtea,alius ſuperbus
Hic illic autem abiectus habens flammas pro ſacietate,
Sim non iactabundus,quoniam malus ſum publicanus,
Lachrymis miſerationem habeam , Phariſæi autẽ cadant,
Viduam autem ſi quando mea apud ueſtibula laborantem
Infectam mittam, & ei lapidem aut ſerpentem grauem
Pro pane charo & piſce iucundiuoro
Inimica ſentiens,manu autem ab hac porrigam,
Talia pro ijs ſortiar deo,ſi autem depoſita
Hæc quidem ſigillũ habet,alia uero ſpes citò currentes,
Hæc me nox perdat cum infirmis ſomnijs,
Neqꝫ uero neqꝫ talentum,quod mihi deus præſtitit
Plus alijs metiens gratiæ,præcor ego ſanè
Hoc manere manibus in noſtris ocioſum,
Aut minam naturalis ſermonis gratiam, æque diſtributã,
Sed opusq́ꝫ præbeam,gloriamq́ꝫ inſuper contra ſortiar,
Neqꝫ pœnam ſoluam amaram,& obprobrium habeam.

FINIS.

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣ ΔΕΞΤΡΟΝ ΕΠΑΡΧΟΝ πραιτωρίων ἀπὸ ῥωμαϊκῶν εἰς ἑλληνικὰ μεταβληθεῖσα.

ΙΕΡΩΝΥΜΟΣ ΔΕΞΤΡΩ.

Προτρέπῃ δέξτρε, ὥστε τραγκύλλῳ ἑπόμενόν με, τοὺς ἐκκλησιαστικοὺς συγγραφέας κατὰ τάξιν ἐκθέσθαι, καὶ ὅπερ ἐκεῖνος ἀπαριθμούμενος τοὺς περιφανεῖς ἄνδρας, τοὺς τὰ ἐθνικὰ συντάξαντας πεποίηκε, κἀγὼ ἐν τοῖς ἡμετέροις ποιήσω, τοῦτ' ἔστιν, ἀπὸ τοῦ πάθους τοῦ σωτῆρος ἄχρι τεσσαρεσκαιδέκατου ἔτους Θεοδοσίου τοῦ βασιλέως, πάντας τοὺς ἐκ τῶν θείων γραφῶν συγγραψαμένους τι, καὶ τῇ μνήμῃ παραδεδωκότας, διὰ βραχέων φανερώσω. πεποιήκασι μὲν οὖν τοῦτο αὐτὸ, παρὰ τοῖς ἕλλησιν, ἕρμιππος περιπατητικὸς, ἀντίγονος καρύστιος, σάτυρος ἀνὴρ πολυμαθὴς, καὶ πολλῶν πάνυ διδασκαλικώτερος, ἀριστόξενος μουσικός· παρὰ δὲ τοῖς ῥωμαίοις, βάῤῥων, σάντρας, νέπως, ὑγῖνος καὶ οὗ εἰς ὑπόδειγμα ἡμᾶς προκαλεῖσθαι βούλει, τραγκύλλος. ἀλλ' οὐκ ἔστιν ἐμοῦ κἀκείνων ὁμοία ἡ αἵρεσις, ἐκεῖνοι μὲν γὰρ, παλαιὰς ἱστορίας καὶ τὰ ἑκάστου ἔτους ἀνακυλίοντες συντάγματα, ἐδυνήθησαν ὡσανεὶ ἐκ μεγάλου λειμῶνος, ἐλάχιστον γοῦν τοῦ οἰκείου ἔργου στέφανον πλέξαι. Ἐγὼ δὲ, τί διαπράξομαι, ἡγουμένῳ ἑπόμενος οὐδενὶ, ἀλλ' ἐμαυτοῦ κάκιστον, ὡς ὁ λόγος φησὶ, διδάσκαλον ἔχων. εἰ καὶ τὰ μάλιστα εὐσέβιος ὁ πάμφιλου εἰς δέκα τῆς ἐκκλησιαστικῆς ἱστορίας βίβλους, μεγίστην ἡμῖν παρέχετο βοήθειαν, καὶ τὰ ἑκάστου περὶ ὧν συγγράφειν μέλλομεν τεύχη, ὑπὲρ τῶν οἰκείων τὴν μαρτυρίαν παρέξουσι χρόνων, τοιγαροῦν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ δέομαι, ἵν' ὅπερ ὁ σὸς κικέρων, ὁ ἐν κορυφῇ ἄκρῳ τῆς ῥωμαϊκῆς εὐγλωττίας ἱστάμενος, ποιῆσαι οὐκ ἀπηξίωσεν εἰς βροῦτον, τὸν τῶν ῥητόρων τῇ ῥωμαϊκῇ γλώττῃ συνταττόντων κατάλογον, τοῦ

τὸ ἐγὼ

HIERONYMI EPISTOLA AD DEXTRVM PRAETOrio præfectum, è Latina lingua in Græcam translata.

HIERONYMVS DEXTRO.

HORTARIS Dexter, ut Tranquillũ ſequens, eccleſiaſticos ſcriptores in ordinem digeram, & quod ille in enumerandis gentilium literarũ uiris fecit illuſtribus, ego in noſtris faciam, id eſt, ut à paſſione Chriſti, uſque ad decimumquartum Theodoſij Imperatoris annum, omnes qui de ſcripturis ſanctis memoriæ aliquid prodiderunt, tibi breuiter exponam. Fecerunt quidem hoc idem apud Græcos, Hermippus peripateticus, Antigonus Caryſtius, Satyrus doctus uir, & longè omnium doctiſſimus, Ariſtoxenus muſicus. Apud latinos autem Varro, Santra, Nepos, Hyginus, & ad cuius nos exemplum uis prouocare, Tranquillus. Sed non mea & illorum ſimilis eſt conditio: Illi enim ueteres hiſtorias annaleſq; replicantes, potuerunt quaſi de ingenti prato, paruam opuſculi ſui coronam texere. Ego quid acturus, qui nullum præuium ſequens, peſſimum, ut dicitur, magiſtrum memetipſum habeo? Quanquam Euſebius Pamphili, in decem eccleſiaſticæ hiſtoriæ libris, maximo nobis adiumento fuerit, & ſingulorum de quibus ſcripturi ſumus uolumina, ætates autorum ſuorum ſæpe teſtantur. Itaq; dominum IESVM CHRISTVM precor, ut quod Cicero tuus qui in arce Romanæ ſtetit eloquentiæ, non eſt facere dedignatus in Bruto, Oratorum latinæ linguæ texens catalogum, id ego in

τὸ ἐγὼ ἐν τῷ ἀπαριθμήσασθαι τοὺς συγγραφέας τῆς αὐτοῦ ἐκκλησίας,
ἐξεπληρώσω διὰ τῆς σῆς προτροπῆς. εἰ δέ τινες, ἐκ τῶν ἄχρι τήμε-
ρον συγγεγραμμένων παρ' ἐμοῦ ἐν τῷδε τῷ τεύχει παρελείφθησαν, ἑαυ-
τοῖς μᾶλλον ἢ ἐμοὶ ἐπιγραφέτωσαν. οὐ δὲ γὰρ ἀποκρυπτόντων αὐτῶν
τὰ ἴδια συγγράμματα, γνῶναι ἐδυνήθην οἷς οὐκ ἐνέτυχον, καὶ ὅπερ ἄλ-
λοις ἐσθ' ὅτε γνωστὸν τυγχάνει, ἐμοὶ ἐν τῇ τοῦ κόσμου τούτου γωνίᾳ, ἄγνω-
στον ὑπῆρξεν. ὅμως ὅταν κατάδηλοι διὰ τῶν οἰκείων γένωνται συγ-
γραμμάτων, οὐχ ὡς τὰ μέγιστα βλαβέντες τὴν ἡμετέραν ἐπιστενάξου-
σι σιωπήν. Μαθέτωσαν τοιγαροῦν κέλσος, πορφύριος, ἰουλιανὸς, οἱ λυσ-
σώδεις κατὰ χριστοῦ κύνες, μαθέτωσαν οἱ τούτων ἀκόλουθοι, οἱ νομίζοντες
τὴν ἐκκλησίαν, μήτε φιλοσόφους καὶ εὐφραδεῖς, μήτε τινὰς ἐσχηκέναι δι-
δασκάλους· ὅσοι καὶ πηλίκοι ἄνδρες, ταύτην θεμελιώσαντες, ᾠκοδόμη-
σάν τε καὶ διεκόσμησαν, καὶ παύσονται τὴν ἡμετέραν πίστιν, ἀγροικικῆς
εὐθὺ μόνον ἁπλότητος, τὴν οἰκείαν μᾶλλον ἀμαθίαν ἐπιγνωσόμενοι.

ΒΙΟΙ ΣΙΓΓΡΑΦΕΩΝ ΕΚΚΛΗΣΙΑΣΤ.

ΣΙΜΩΝ πέτρος ἀπόστολος υἱὸς ἰωνᾶ, ἐπαρχίας
γαλιλαίας, κώμης βηθσαϊδᾶ, ἀδελφὸς ἀνδρέου
ἀποστόλου, καὶ ἀρχηγὸς τῶν ἀποστόλων, μετὰ τὴν
ἐπισκοπὴν τῆς ἀντιοχέων ἐκκλησίας, καὶ τὸ κήρυ-
γμα τῶν διασπαρέντων, ἤγουν ἐκ τῆς περιτομῆς πιστευ-
σάντων, ἐν πόντῳ, γαλατίᾳ, καππαδοκίᾳ, ἀσίᾳ, καὶ βιθυνίᾳ, τῷ δευ-
τέρῳ κλαυδίου ἔτει, εἰς τὸ ἐκπολεμῆσαι σίμωνα τὸν μάγον, τῇ ῥώμῃ ἐπί-
σταται, ἔνθα εἴκοσι πέντε ἐνιαυτοὺς, τὸν θρόνον τῆς ἱερωσύνης κατέχειν, ἕως
τοῦ τελευταίου ἐνιαυτοῦ νέρωνος, τουτέστι, τοῦ τεσσαρεσκαιδεκάτου, ἐφ' οὗ καὶ σταυ-
ρωθεὶς ἐμαρτύρησε, τὴν κεφαλὴν κατὰ γῆν ἔχων, τοὺς πόδας δὲ, ἐν μετε-
ώρῳ, φάσκων ἀνάξιον ἑαυτὸν εἶναι, τὸν ὅμοιον τρόπον σταυρωθῆναι τῷ
πάντων κυρίῳ. Ἔγραψε δύο ἐπιστολὰς τὰς ὀνομαζομένας καθολικὰς,
ἀφ' ὧν τὴν δευτέραν οἱ πλείους, οὐκ ἐγκρίνουσιν αὐτοῦ τυγχάνειν, διὰ τὸν
χαρακτῆρα, καὶ τὴν διαφωνίαν τῆς πρώτης ἐπιστολῆς. ἀλλὰ καὶ τὸ κατὰ μάρ-
κον εὐαγγέλιον, ὃς μαθητὴς αὐτοῦ καὶ ἑρμηνευτὴς ἐγένετο, τούτου λέγεται εἶ-
ναι. τὰ δὲ συγγράμματα, τουτέστι πρῶτον, ὃ ἐπιγέγραπται πράξεις αὐτοῦ

δεύτερον

eccleſiæ illius ſcriptoribus enumerandis, dignè cohortatione tua impleam. Si qui autem de his qui uſque hodie ſcriptitant, à me in hoc uolumine prætermiſſi ſunt, ſibi magis quàm mihi debent imputare. Neq; enim celantes ſcripta ſua, de his quæ non legi, noſſe potui. Et quod alijs forſitan ſit notum, mihi in hoc terrarũ angulo fuerit ignotum. Certè quũ ſcriptis ſuis claruerint, nõ magnopere noſtri ſilentij diſpendio ſuſpirabũt. Diſcant ergo Celſus, Porphyrius, Iulianus, rabidi aduerſus Chriſtũ canes, diſcant eorum ſectatores, qui putant eccleſiam, nullos philoſophos & eloquentes, nullos habuiſſe doctores, quanti & quales uiri eam fundauerint, extruxerint, & ornauerint, & deſinant fidem noſtram, ruſticæ tantum ſimplicitatis arguere, ſuamq; potius imperitiam agnoſcant.

VITAE SCRIPTORVM ECCLESIASTICORVM.

SIMON Petrus filius Ioannis, prouinciæ Galilææ, uico Bethſaida, frater Andreæ apoſtoli, & princeps apoſtolorum, poſt epiſcopatum Antiochenſis eccleſiæ, prædicationẽ diſperſionis eorum qui de circuncíſione crediderant, in Ponto, Galatia, Cappadocia, Aſia, & Bithynia, ſecundo Claudij anno, ad expugnandum Simonem magum Romam pergit, ibiq; uigintiquinque annis, cathedram ſacerdotalem tenuit, uſque ad ultimum annum Neronis, id eſt, decimumquartum. A quo & affixus cruci, martyrio coronatus eſt, capite ad terram uerſo, & in ſublime pedibus eleuatis, aſſerens ſe indignum, ut ſic crucifigeretur, ut dominus ſuus. Scripſit duas epiſtolas, quæ catholicæ nominantur, quarũ ſecunda à plæriſq; eius eſſe negatur, propter ſtyli cum priore diſſonantiã. Sed & euangeliũ iuxta Marcum, qui auditor eius & interpres fuit, huius dicitur. Libri autẽ eius è quibus unus actorum eius inſcribit̃,

δεύτερον, εὐαγγέλιον, τρίτον, κήρυγμα. τέταρτον, ἀποκάλυψις. πέμπτον κρίσις, ὡς ἀπόκρυφα ὄντα ἀποδοκιμάζεται. κηδευθεὶς δὲ ἐν ῥώμῃ ἐν τῷ βατικάνῳ, πλησίον τῆς ὁδοῦ τῆς ἐπίκλην τριουμφαλίας, μετὰ παντὸς τοῦ σεβάσματος, παρὰ τῶν ῥωμαίων θρησκεύεται.

ΑΝΔΡΕΑΣ ΑΠΟΣΤΟΛΟΣ.

ΑΝΔΡΕΑΣ ὁ ἀδελφὸς αὐτοῦ, ὡς οἱ πρὸ ἡμῶν παραδεδώκασιν, σκύθαις τε σογδιανοῖς καὶ σάκκαις ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου ἡμῶν ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ. καὶ ἐν σεβαστοπόλει ἐκήρυξε τῇ μεγάλῃ. ὅπου ὄξιν ἡ παρεμβολὴ ἀψάρου, καὶ φάσις ὁ ποταμός, ἔνθα οἰκοῦσιν αἰθίοπες οἱ ἐσώτεροι. θάπτεται δὲ ἐν πάτραις τῆς ἀχαΐας. σταυρῷ παραδοθεὶς ὑπὸ αἰγεὰ τοῦ βασιλέως ἐδεσηνῶν.

ΙΑΚΩΒΟΣ ΑΠΟΣΤΟΛΟΣ.

ΙΑΚΩΒΟΣ ὁ ἀδελφὸς τοῦ κυρίου, ἀπόστολος καὶ ἐπίκλην δίκαιος, ὥστινες ὑπολαμβάνουσι, τοῦ ἰωσὴφ, ἀπ' ἄλλης γυναικός. ὡς δὲ ἐμοὶ φαίνεται, μαρίας ἀδελφῆς τῆς μητρὸς τοῦ κυρίου, ἧς ἰωάννης μέμνηται παρὰ τὸ πάθος τοῦ κυρίου, εὐθὺς παρὰ τῶν ἀποστόλων, ἱεροσολύμων ἐπίσκοπος κατασταθεὶς, μίαν μόνην συνεγράψατο ἐπιστολὴν, ἥτις τῶν ἑπτὰ καθολικῶν τυγχάνει. καὶ τινες παρ' ἑτέρου τινὸς ἐπ' ὀνόματι αὐτοῦ ἐκδεδόσθαι ταύτην φάσκουσι, καὶ κατὰ βραχὺ τοῦ χρόνου προϊόντος, αὐθεντίας τινὸς ἐπελάβετο, Ηγήσιππος γείτων τῶν ἀποστολικῶν χρόνων, ἐν τῷ πέμπτῳ λόγῳ τῶν ὑπομνημάτων περὶ ἰακώβου διηγούμενος ἔφη, ἐδέξατο τὴν ἐκκλησίαν ἱεροσολύμων μετὰ τοὺς ἀποστόλους, ἀδελφὸς τοῦ κυρίου ἰάκωβος, ὁ ἐπικληθεὶς δίκαιος, διὰ τὸ πολλοὺς καλεῖσθαι ἰακώβους. οὗτος ἐκ γεννητῆς ἅγιος ἦν, οἶνον καὶ σίκερα οὐκ ἔπιε, κρεῶν δὲ οὐδὲ ἑτέρου θυτοῦ, οὐ μετέλαβε πώποτε, οὐδὲ ἐκείρατο, οὐδὲ ἀλείμμασιν, ἢ λουτροῖς προσωμίλησεν, ἔθος δὲ ἦν αὐτῷ εἰσελθεῖν εἰς τὰ ἅγια τῶν ἁγίων, ἐσθῆτι ἐρεΐνῃ μὴ κεχρημένῳ, ἀλλὰ λινῇ, μόνῳ τε αὐτῷ ἐξῆν εἰς τὸν ναὸν εἰσιέναι, καὶ γόνατα κλίνων, ὑπὲρ τοῦ λαοῦ προσηύχετο, τοσοῦτον, ὥστε τὰ γόνατα αὐτοῦ ὑπερβαίνειν νομίζεσθαι, τοὺς τῶν καμήλων τύπους. λέγει καὶ ἕτερά τινα, ἃ μακρὸν εἴη καταλέγεσθαι.

alius euangelij,tertius prædicationis, quartus Apocalypſis, quintus iudicij, inter apocryphas ſcripturas reputantur. Sepultus Romæ in uaticano iuxta uiam triumphalē, totius urbis ueneratione celebratur.

ANDREAS APOSTOLVS.

ANDREAS frater huius, ut maiores noſtri prodiderunt, Scythis & Sogdianis, & Saccis prædicauit euangelium domini noſtri Ieſu Chriſti,& in Auguſta ciuitate prædicauit,quæ cognominatꝰ Magna,ubi eſt irruptio Apſari,& Phaſis fluuius,illic incolūt Aethiopes interiores. Sepultus eſt autē Patris ciuitate Achaiæ,cruci ſuffixus,ab Aegea præfecto Edeſenorum.

D. Hieronymus, nō receſsit niſi ſcriptores, At Sophronius reliquos item Apoſtolos adiunxit.

IACOBVS APOSTOLVS.

IACOBVS, qui appellatur frater domini, cognomento Iuſtus,ut nonnulli exiſtimant,Ioſeph,ex alia uxore,ut autē mihi uidetur,Mariæ ſororis matris domini,cuius Ioannes in libro ſuo meminit filius, poſt paſſionem domini, ſtatim ab apoſtolis Hieroſolymorū epiſcopus ordinatus, unam tantum ſcripſit epiſtolam,quæ de ſeptem catholicis eſt,quæ & ipſa ab alio quodam ſub nomine eius ædita aſſeritur. Licet paulatim tempore procedente obtinuerit autoritatem. Hegeſippus uicinus apoſtolicorum temporū, in quinto commentariorum libro, de Iacobo narrans ait: Suſcepit eccleſiam Hieroſolymæ, poſt apoſtolos frater domini Iacobus, cognomento Iuſtus. Multi ſiquidem Iacobi uocabantur. Hic de utero matris ſanctus fuit,uinum & ſiceram non bibit, carnem nullam comedit, nunquam attonſus eſt,nec unctus unguento,nec uſus balneo,. Huic ſoli licitū erat ingredi ſancta ſanctorum. Siquidē ueſtibus lancis nō utebatur, ſed lineis, ſolusq́; ingrediebatur templum, & fixis genubus, pro populo deprecabatur,intantum, ut camelorum duritiem traxiſſe eius genua crederentur. Dicit & alia multa, quæ enumerare longum eſt,

καὶ γὰρ καὶ ἰώσηπος ἐν τῷ εἰκοστῷ τῆς ἀρχαιολογίας λόγῳ, καὶ κλήμης ἐν τῷ ἑβδόμῳ τῶν ὑποτυπώσεων εἰρήκασι, μετὰ τὴν τελευτὴν φήστου τὴν ἰουδαίαν διέποντος, πεμφθῆναι παρὰ νέρωνος διάδοχον αὐτοῦ ἀλβῖνον, καὶ πρὶν ἢ τοῦτον τῆς ἀπαρχίας ἐπιστῆναι, ἄνανός φησιν ἱερεὺς νέος, ἀνάνου υἱός, γένος ἱερατικοῦ, εἰληφὼς ἀφορμὴν ἀναρχίας, συνεδρίου γενομένου, ἠνάγκαζε τὸν ἰάκωβον δημοσίᾳ ἵνα τὸν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ ἀρνήσηται, ἀντιλέγοντα δὲ λιθασθῆναι προσέταξεν, ὃς ἐκ τοῦ πτερυγίου τοῦ ναοῦ κρημνισθείς, κατεαγότων αὐτοῦ τῶν σκελῶν, ἡμιθανὴς ἐπάρας εἰς οὐρανὸν τὰς χεῖρας, λέγει, κύριε, σύγγνωθι αὐτοῖς, ὃ γὰρ ποιοῦσιν ἀγνοοῦσι. τότε κναφικῷ μοχλῷ ᾧ τὰ ἱμάτια ἐκπιάζειν εἰώθασι, κατὰ τὸν ἐγκεφαλὸν κρουσθείς, ἀνεπαύσατο. Προστίθησιν ὁ αὐτὸς ἰώσηπος, τοσαύτης αὐτὸν γεγενῆσθαι ἁγιοσύνης ἐντὸς καὶ θρησκείας παρὰ τῷ λαῷ, ὡς διὰ τὸν αὐτοῦ θάνατον πεπεῖσθαι πάντας τὰ ἱεροσόλυμα πεπορθῆσθαι. περὶ τούτου καὶ ὁ ἀπόστολος παῦλος πρὸς τοὺς γαλάτας λέγει. ἄλλον δὲ ἐκ τῶν ἀποστόλων οὐδένα εἶδον, εἰ μὴ ἰάκωβον τὸν ἀδελφὸν τοῦ κυρίου. καὶ τῶν ἀποστόλων περὶ τούτου μαρτυροῦσιν αἱ πράξεις. καὶ τὸ εὐαγγέλιον δὲ τὸ ἐπιγράφον καθ' ἑβραίους, ὅπερ ὑπ' ἐμοῦ νῦν εἰς τὴν ἑλληνικὴν καὶ ῥωμαϊκὴν γλῶτταν μετεβλήθη, ᾧ καὶ ὠριγένης πολλάκις κέχρηται, μετὰ τὴν ἀνάστασιν τοῦ σωτῆρος, λέγει. Ο δὲ κύριος δεδωκὼς σινδόνα τῷ δούλῳ τοῦ ἱερέως, ἀπελθὼν πρὸς ἰάκωβον, ὤοιξεν αὐτῷ. ὠμωμόκει γὰρ ἰάκωβος μὴ γεύσασθαι ἄρτου, ἐξ ἐκείνης τῆς ὥρας ἀφ' ἧς πεπώκει τὸ ποτήριον ὁ κύριος, ἕως οὗ ἴδῃ αὐτὸν ἀναστάντα ἐκ νεκρῶν. Αὖθις δὲ μικρὸν ὕστερον δότε φησὶν ὁ κύριος τράπεζαν καὶ ἄρτον. Εὐθὺς δὲ προστίθεται, λαβὼν ἄρτον, εὐχαριστήσας ἔκλασε, καὶ δεδωκὼς ἰακώβῳ τῷ δικαίῳ, λέγει αὐτῷ. Ἀδελφέ μου, ἔσθιε τὸν ἄρτον τὸν σόν, ἠγέρθη γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν. Τριάκοντα τοιγαροῦν ἐνιαυτούς, τὴν ἱεροσολύμων κυβερνήσας ἐκκλησίαν, τουτέστιν ἕως ἑβδόμου ἐνιαυτοῦ νέρωνος, πλησίον τοῦ ναοῦ ἀπετέθη, ἐν ᾧ καὶ ἐξερρίφθη, τίτλον ἄχρι τῆς τίτου πολιορκίας, καὶ τῆς τελευταίας ἀδριανοῦ ἐπίσημον ἔχεν. Ὃν τινες ἐξ ἡμῶν ἐν τῷ ὄρει τοῦ ἐλαιῶνος τεθεῖσθαι νομίζουσι, ψευδοῦς οὔσης περὶ τούτων ὑπονοίας.

ΙΑΚΩΒΟΣ

Sed & Ioſephus in uiceſimo libro antiquitatum refert, & Clemẽs in ſeptimo Hypotypoſeon, mortuo Feſto, qui Iudæam regebat, miſſum à Nerone eſſe ſucceſſorem eius Albinum, qui quũ necdum ad prouinciã perueniſſet, Ananus, inquit, pontifex adoleſcens Anani filius, de genere ſacerdotali, accepta occaſione ἀναρχίας, concilium congregauit, & compellens publice Iacobum ut Chriſtum dei filium denegaret, contradicentem lapidari iuſſit: qui quum precipitatus de pinna templi cõfractis cruribus, adhuc ſemiuiuus tendens ad cœlum manus, diceret: Domine ignoſce eis, quod enim faciunt neſciunt: fullonis fuſte, quo rudia ueſtimẽta extorqueri ſolẽt, cerebro percuſſus interijt. Tradit item Ioſephus tantæ eum ſanctitatis fuiſſe, & celebritatis in populo, ut propter eius necem, creditũ ſit ſubuerſam eſſe Hieroſolymam. Hic eſt de quo Paulus apoſtolus ſcribit ad Galatas: Alium autem apoſtolorum uidi neminem, niſi Iacobum fratrem domini. Et apoſtolorum ſuper hoc crebrius acta teſtantur. Euangeliũ quoq; quod appellatur ſecundum Hebræos, & à me nuper in Græcum, latinumq; ſermonẽ translatum eſt, quo & Origenes ſæpe utitur, poſt reſurrectionẽ ſaluatoris refert. Dominus autem quum dediſſet ſindonem ſeruo ſacerdotis, iuit ad Iacobum & apparuit ei. Iurauerat enim Iacobus ſe non comeſturum panem ab illa hora, qua biberat calicem domini, donec uideret eum reſurgentem à mortuis. Rurſus que poſt paululũ: Afferte ait dominus menſam & panem. Statimq; additur: Tulit panem, & benedixit, ac fregit, & dedit Iacobo iuſto, & dixit ei: Frater mi comede panem tuũ, quia reſurrexit filius hominis à dormientibus. Triginta itaque annos Hieroſolymis rexit eccleſiam, id eſt, uſq; ad ſeptimum Neronis annum, & iuxta templum ubi & præcipitatus fuerat ſepultus eſt. Titulum uſq; ad obſidionem Titi & ultimam Hamam Hadriani, notiſſimum habuit. Quidam è noſtris in monte olivueti eum putauerunt conditum, ſed falſa eorum opinio eſt.

ΙΑΚΩΒΟΣ.

ΙΑΚΩΒΟΣ ὁ τοῦ ζεβεδαίου, ταῖς δώδεκα φυλαῖς ταῖς ἐν τῇ διασπορᾷ, πᾶσιν ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ἀνῃρέθη δὲ μαχαίρᾳ ὑπὸ ἡρώδου τετράρχου τῶν ἰουδαίων.

ΦΙΛΙΠΠΟΣ ΑΠΟΣΤΟΛΟΣ.

ΦΙΛΙΠΠΟΣ ὁ ἀπόστολος ἐν φρυγίᾳ κηρύσσει τὸ εὐαγγέλιον τοῦ κυρίου ἰησοῦ. θάπτεται ἐν ἱεραπόλει μετὰ τῶν θυγατέρων ἐνδόξως.

ΒΑΡΘΟΛΟΜΑΙΟΣ ΑΠΟΣΤΟΛΟΣ.

ΒΑΡΘΟΛΟΜΑΙΟΣ ὁ ἀπόστολος, ἰνδοῖς τοῖς καλουμένοις εὐδαίμοσιν, ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ χριστοῦ, καὶ τὸ κατὰ ματθαῖον αὐτοῖς εὐαγγέλιον ἔδωκεν. ἐκοιμήθη δὲ ἐν ἀλβανοπόλει τῆς μεγάλης ἀρμενίας.

ΤΩΜΑΣ ΑΠΟΣΤΟΛΟΣ.

ΤΩΜΑΣ ὁ ἀπόστολος, καθὼς ἡ παράδοσις περιέχει, πάρθοις καὶ μήδοις καὶ πέρσαις καὶ γερμανοῖς καὶ ὑρκανοῖς καὶ βάκτροις καὶ μάγοις ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου. ἐκοιμήθη ἐν πόλει καλαμίνῃ τῆς ἰνδικῆς.

ΣΙΜΩΝ ΚΑΝΑΝΑΙΟΣ.

ΣΙΜΩΝ ὁ κανανaῖος, ὁ ἐπικληθεὶς ἰούδας, ἀδελφὸς ἰακώβου τοῦ ἐπισκόπου, ὅς ὡς καὶ τὸν κλῆρον τῆς ἐπισκοπῆς ἐδέξατο μετὰ τὴν ἰακώβου τοῦ δικαίου κοίμησιν. ἔζησεν ἑκατὸν εἴκοσιν ἔτη. σταυρῷ δὲ παραδοθεὶς ἐπὶ τραϊανοῦ τοῦ βασιλέως, διωγμοῦ μεγάλου κινηθέντος ἐκοιμήθη.

ΜΑΤΘΙΑΣ ΑΠΟΣΤΟΛΟΣ.

ΜΑΤΘΙΑΣ εἷς ὢν τῶν ἑβδομήκοντα, συγκαταριθμηθεὶς δὲ μετὰ τῶν ἕνδεκα ἀποστόλων, ἀντὶ ἰούδα τοῦ ἰσκαριώτου τοῦ προδότου γενομένου, ἐν τῇ δευτέρᾳ αἰθιοπίᾳ, ὅπου ἡ παρεμβολὴ ἀψάρου, καὶ ὕσσου λιμήν, ἐκήρυξε τὸ εὐαγγέλιον, ἀγροίοις ἀνθρώποις οὖσι. καὶ ἐκεῖ ἐκοιμήθη, καὶ ἐκεῖ ἐτάφη ἕως τῆς σήμερον.

ΤΙΜΟΘΕΟΣ

IACOBVS.

IACOBVS Zebedæi filius, duodecim tribubus quæ erant in diſperſione, omnibus prædicauit euangelium domini noſtri Ieſu Chiſti. Interfectus eſt autē gladio ab Herode tetrarcha Iudæorum.

PHILIPPVS APOSTOLVS

PHILIPPVS apoſtolus, in Phrygia prædicat euangelium domini Ieſu. Sepelitur Hierapoli cum filiabus honorificè.

BARTHOLOMAEVS APOSTOLVS.

BARTHOLOMAEVS apoſtolus, Indis ijs qui dicuntur fortunati prædicauit euangeliũ Chriſti, & euangelium quod eſt ſecundum Matthæum eis tradidit. Dormiuit autem Albanopoli, oppido maioris Armeniæ.

THOMAS APOSTOLVS.

THOMAS apoſtolus, quemadmodũ traditum eſt nobis, Parthis & Medis & Perſis & Germanis & Hyrcanis & Bactris & Magis prædicauit euangelium domini. Dormiuit in ciuitate Calamina, quæ eſt Indiæ.

SIMON CANANAEVS.

SIMON Cananæus, cognomento Iudas, frater Iacobi epiſcopi, qui & ſucceſſit illi in epiſcopatum, poſt obitum Iacobi cognomento Iuſti. Vixit annos uiginti ſupra centum, Crucifixus autem ſub Traiano præfecto, mota perſecutione graui, dormiuit.

MATTHIAS APOSTOLVS.

MATTHIAS, quum unus eſſet è numero ſeptuaginta, allectus in ordinem undecim apoſtolorum, in locum Iudæ Iſcariotæ, qui fuit proditor. In altera Aethiopia, ubi eſt irruptio Apſari & Hyſſi portus, prædicauit euangelium, quum eſſent homines agreſtes. Et illic dormiuit & illic ſepultus eſt, uſq; ad hodiernum diem.

ΤΙΜΟΘΕΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΤΙΜΟΘΕΟΣ δὲ ὁ ἐπίσκοπος ἐφέσου κατασταθεὶς ὑπὸ τοῦ μακαρίου παύλου, ὃς ἐξ ἐθνῶν ἦν, οὐκ ἐκ περιτομῆς. ᾧ καὶ πολλὰ μαρτυρεῖ παῦλος, νουθετῶν τὴν καλὴν ὁμολογίαν τοῦ δοθέντος αὐτῷ χαρίσματος φυλάξαι, ὃς καὶ ἐνδόξως ἐκεῖ ἐμαρτύρησεν.

ΤΙΤΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΤΙΤΟΣ ἐπίσκοπος κρήτης, ἐν αὐτῇ καὶ ταῖς πέριξ νήσοις, ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ χριστοῦ. ἐκεῖ καὶ ἐκοιμήθη καὶ ἐτάφη ἐν κρήτῃ.

ΚΡΙΣΚΗΣ.

ΚΡΙΣΚΗΣ ἐν γαλλίαις ἐκήρυξε τὸ εὐαγγέλιον, καὶ ἐκεῖ ἐτάφη. εὐνοῦχος κανδάκης τῆς βασιλίσσης αἰθιόπων, ἐν ἀραβίᾳ τῇ εὐδαίμονι, καὶ ἐν τῇ προβάνῃ νήσῳ τῇ ἐν τῇ ἐρυθρᾷ ἐκήρυξε τὸ εὐαγγέλιον τοῦ κυρίου. Λόγος δὲ περιέχει, ὡς καὶ μεμαρτυρηκέναι αὐτὸν ἐκεῖ, καὶ ἐνδόξως ταφῆναι.

ΙΟΥΔΑΣ ΑΠΟΣΤΟΛΟΣ.

ΙΟΥΔΑΣ ἀδελφὸς ἰακώβου, ἐλαχίστην ἥτις ἐκ τῶν ἑπτὰ καθολικῶν ἐστὶν ἐπιστολὴν καταλέλοιπεν. καὶ ἐπείπερ ἀπὸ τῆς βίβλου ἐνώχ. τοῦ ἀποκρύφου τυγχανούσης προσλαμβάνεται ἐν αὐτῇ μαρτυρίας, παρὰ πολλῶν ἐκβάλλεται, ἀλλ᾽ ὅμως τῇ ἀρχαιότητι καὶ τῇ τοῦ χρήσεως αὐθεντίᾳ, ἠξιώθη ταῖς θείαις γραφαῖς συγκαταριθμεῖσθαι.

ΠΑΥΛΟΣ ΑΠΟΣΤΟΛΟΣ.

ΠΑΥΛΟΣ ὁ ἀπόστολος ἔξω τοῦ ἀριθμοῦ τῶν δώδεκα ἀποστόλων τυγχάνων, ἐκ φυλῆς βενιαμὴν, καὶ κώμης γισχάλων τῆς ἰουδαίας, ὁρμώμενος πορθηθείσης παρὰ τῶν ῥωμαίων τῆς αὐτῆς κώμης, μετὰ τῶν οἰκείων γονέων εἰς ταρσὸν τῆς κιλικίας κατῴκησεν, ὑφ᾽ ὧν σταλεὶς διὰ τὴν ἄσκησιν τοῦ νόμου εἰς ἱεροσόλυμα, παρὰ γαμαλιὴλ ἀνδρὶ διδασκαλικωτάτῳ, οὗ καὶ λουκᾶς μέμνηται, ἐφοίτησεν. ἀλλ᾽ ἡνίκα παρῆν τῇ σφαγῇ στεφάνου τοῦ μάρτυρος, λαβὼν ἐπιστολὰς τοῦ ἱερέως ἐπὶ διωγμῷ τῶν ἐν

TIMOTHEVS EPISCOPVS.

TIMOTHEVS autem Epheſiorum epiſcopus ordinatus à beato Paulo, ex gentibus erat, non ex circuncisione. De quo multa teſtatur Paulus, admonens ut honeſtam profeſſionem dati ſibi doni ſeruaret, qui & glorioſe illic teſtificatus eſt.

TITVS EPISCOPVS

TITVS Epiſcopus Cretæ, in eadẽ & in circumiacentibus inſulis prædicauit euangelium Chriſti. Ibidem autem & dormiuit, & ſepultus eſt, nempe in Creta.

CRESCENS.

CRESCENS in Gallijs prædicauit euangelium, & illic ſepultus eſt, Eunuchus Candaces Aethiopum reginæ, in Arabia cognomento felici. Et in Taprobana inſula maris rubri prædicauit euangelium domini. Aiunt autem eum & ibidem martyrium pertuliſſe, & honorifice fuiſſe ſepultum.

IVDAS APOSTOLVS.

IVDAS frater Iacobi paruam quidem quæ de ſeptem catholicis eſt, epiſtolam reliquit. Et quia de libro Enoch qui apocryphus eſt, in ea aſſumit teſtimonium, à pleriſq; reijcitur, tamen autoritatem uetuſtate iam & uſu meruit, & inter ſanctas ſcripturas computatur.

PAVLVS APOSTOLVS.

PAVLVS apoſtolus, qui ante Saulus, extra numerum duodecim apoſtolorum, de tribu Beniamin & oppido Iudeæ Giſchalis fuit, quo à Romanis capto, cum parentibus ſuis Tharſum Ciliciæ commigrauit, à quibus ob ſtudia legis miſſus Hieroſolymam, à Gamaliele uiro doctiſſimo, cuius Lucas meminit, eruditus eſt.

Quum autem interfuiſſet neci martyris Stephani, & acceptis à pontifice templi epiſtolis, ad perſequendos eos

τῶν ΙΗΣΟΥ ΧΡΙΣΤΩ πιστευσάντων, ἐπιστὰς τῇ δαμασκῷ διὰ ἀποκαλύψεως εἰς τὴν πίστιν τὴν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἐγγεγραμμένην, εἰς σκεῦος ἐκλογῆς ἀπὸ διώκτου μετηνέχθη. πιστεύσαντος δὲ πρῶτον εἰς τὴν τούτου κήρυξιν σεργίου παύλου ἀνθυπάτου τῆς κυπρίων, διὰ τοῦ ὅτι αὐτὸν τῇ πίστει τοῦ ΧΡΙΣΤΟΥ ὑπέταξεν ἐκληρώθη τοῦ ὀνόματος παύλου. καὶ συζεύξας ἑαυτῷ βαρνάβαν, πολλαῖς τε πόλεσιν ἐπιστὰς ἀναζεύξας εἰς ἱεροσόλυμα παρὰ πέτρου καὶ ἰακώβου τῶν ἐθνῶν ἀπόστολος καθίσταται. Ἐπεὶ τοίνυν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων περὶ τῆς τούτου διαγωγῆς πολλὰ εἴρηται, τοῦτο μόνον λέξω. ὅτιπερ μετὰ τὸ πάθος τοῦ κυρίου εἰκοστῷ πέμπτῳ ἔτει, τουτέστι δευτέρῳ νέρωνος, ἡνίκα φῆστος ὁ τῆς ἰουδαίας ἐπίτροπος διεδέξατο φήλικα, εἰς ῥώμην δέσμιος πέμπεται. καὶ ἐπὶ δύο ἐνιαυτοὺς ἐν ἐλευθέρᾳ μένων παραφυλακῇ, κατὰ τῶν ἰουδαίων περὶ τῆς ἐλεύσεως ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ἑκάστοτε διηγήσατο. Δεῖ δὲ εἰδέναι ὅτι ἐν τῇ πρώτῃ ἀπολογίᾳ, μήπω τῆς τοῦ νέρωνος βασιλείας στερεωθείσης μήτε εἰς τοσαύτας αὐτοῦ πράξεις, ὅσας αἱ ἱστορίαι φέρουσιν διεληλακότος, παῦλος παρὰ νέρωνος ἀπελύθη, ἐπὶ τὸ εὐαγγέλιον τοῦ ἰησοῦ χριστοῦ, καὶ ἐν τοῖς ἑσπερίοις μέρεσιν κηρύξαι, καθὼς γράφει ἐν τῇ δευτέρᾳ πρὸς τιμόθεον ἐπιστολῇ. ἐν τῷ καιρῷ, ἐν ᾧ καὶ ἔπαθεν, ὅτ' ἂν ἐν τοῖς δεσμοῖς ὤν, ἐπιστέλλει λέγων. Ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, οὐδείς μοι συμπαρεγένετο, καὶ ἐρρύσθην ἐκ στόματος λέοντος. σαφῶς διὰ τὴν ὠμότητα, νέρωνα λέγων. Αἰσθόμενος γὰρ δηλονότι ἐπικεῖσθαι αὐτῷ τὸ μαρτύριον ἐν τῇ αὐτῇ ἐπιστολῇ προεῖπε λέγων. Ἐγὼ γὰρ ἤδη σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς ἀναλύσεως ἐφέστηκεν. Ὁμοίως τοίνυν καὶ αὐτὸς τεσσαρεσκαιδεκάτῳ νέρωνος ἐνιαυτῷ, τῇ αὐτῇ ἡμέρᾳ ᾗ καὶ πέτρος ἐν ῥώμῃ ὑπὲρ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ἀποκεφαλισθεὶς, ἀπετέθη ἐν τῇ ὁδῷ, τῇ λεγομένῃ ὀστηνσία, ἔτους μετὰ τὸ πάθος τοῦ κυρίου ἡμῶν ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ, τριακοστοῦ ἑβδόμου. Ἔγραψε δὲ ἐπιστολὰς ἐννέα, πρὸς ἑπτὰ ἐκκλησίας οὗτος, πρὸς ῥωμαίους μίαν, πρὸς κορινθίους δύο, πρὸς γαλάτας μίαν, πρὸς ἐφεσίους μίαν, πρὸς φιλιππησίους μίαν, πρὸς κολασσεῖς μίαν,

πρὸς

qui Chriſto crediderant, Damaſcum pergeret, reuelati-one compulſus ad fidem, quæ in actibus apoſtolorum ſcribitur, in uas electionis de perſecutore translatus eſt. Quumq́ primum ad prædicationem eius Sergius Paulus proconſul Cypri credidiſſet, ab eo quod eum Chriſti fidei ſubegerat, ſortitus eſt nomen Paulus, & iuncto ſibi Barnaba, multis urbibus peragratis, reuertensq́ Hierosolymam, à Petro Iacobo'que & Ioanne gentium apoſtolus ordinatur. Et quia in actibus apoſtolorum pleniſſimè de eius conuerſatione ſcriptum eſt, hoc tantum dicam, quod poſt paſſionem domini uiceſimoquinto anno, id eſt ſecundo Neronis, eo tempore quo Feſtus procurator Iudeæ ſucceſſit Felici, Romam uinctus mittitur, & biennium in libera manens cuſtodia, aduerſus Iudæos de aduentu Chriſti quotidie diſputauit. Sciendum autem in prima ſatisfactione, necdum Neronis imperio roborato, nec in tanta erumpente ſcelera, quanta de eo narrãt hiſtoriæ, Paulum à Nerone dimiſſum, ut euangelium Chriſti, in occidentis quoq; partibus prædicaret, ſicut ipſe ſcribit in ſecunda epiſtola ad Timotheũ, eo tempore quo & paſſus eſt, de uinculis dictat epiſtolam: In prima mea ſatisfactione nemo mihi affuit, ſed omnes me dereliquerũt, non eis imputetur. Dominus autem mihi affuit & confortauit me, ut per me prædicatio compleretur, & audirent omnes gentes, & liberatus ſum de ore leonis. Manifeſtiſſimè leonẽ propter crudelitatem Neronem ſignificans. Et in ſequẽtibus: Liberatus ſum de ore leonis. Et ſtatim: Liberauit me dominus ab omni opere malo, & ſaluauit me in regnum ſuum cœleſte, quod ſcilicet præſens ſibi ſentiret imminere martyriũ. Nam & in eadẽ epiſtola præmiſerat: Ego eñ iam immolor, & tẽpus reſolutionis meæ inſtat. Hic ergo decimoquarto Neronis anno, eodẽ die quo Petrus, Romæ pro Chriſto capite truncatus ſepultus' que eſt, in uia Oſtienſi, anno poſt paſſionem domini 37. Scripſit autem nouem ad ſeptem eccleſias epiſtolas, ad Romanos unam, ad Corinthios duas, ad Galatas unã, ad Epheſios unã, ad Philippenſes unã, ad Coloſſenſes unam

πρὸς θεσσαλονικεῖς δύο, καὶ πρὸς τοὺς οἰκείους μαθητὰς, τιμοθέῳ δύο, τίτῳ μίαν, φιλήμονι μίαν. τὴν δὲ πρὸς ἑβραίους ἐπιςολὴν, τινὲς νομίζουσι μὴ εἶναι αὐτοῦ, διά τε τὸν χαρακτῆρα, καὶ τὴν τοῦ λόγου διαφωνίαν, ἀλλὰ βαρνάβα κατὰ τὸν τερτυλλιανὸν, τοῦ λουκᾶ, ἢ τοῦ εὐαγγελιςοῦ, καθά τισι δοκεῖ, ἢ κλήμεντος τοῦ τῆς ἐκκλησίας ῥώμης ὕστερον ἐπισκόπου, ὅν φασι τὰ ἀποφθέγματα παύλου, οἰκείῳ συντάξαι καὶ κοσμῆσαι λόγῳ, ἢ τόγε μᾶλλον παῦλος γράφων πρὸς ἑβραίους, διὰ τὸν φθόνον τὸν πρὸς αὐτὸν, τὴν τοῦ ἀποςόλου ἐπιγραφὴν ἐν ἀρχῇ τῆς προσηγορίας γραφῆναι, οὐκ ἐδοκίμασεν. ἐγεγράφει γὰρ ὡς ἑβραῖος ἑβραίοις τουτέςιν οἰκείᾳ φράσει ἐλλογίμως, καὶ ἅπερ εὐφραδῶς συντέτακτο τῇ ἑβραΐδι διαλέκτῳ, εὐφραδέστερον εἰς ἑλληνικὴν μετεφράσθη, καὶ ταύτην εἶναι τὴν αἰτίαν, τοῦ οἴεσθαι διαφωνεῖν ταῖς ἄλλαις παύλου ἐπιςολαῖς. τινὲς δὲ, καὶ τὴν πρὸς λαοδικεῖς ἀναγινώσκουσιν, ἀλλὰ παρὰ πάντων ἐκβάλλεται.

ΒΑΡΝΑΒΑΣ ΚΥΠΡΙΟΣ.

Βαρναβας κύπριος, ὁ καὶ ἰωσὴφ λευίτης, μετὰ παῦλον τῶν ἐθνῶν ἀπόςολος καταςαθεὶς, μίαν πρὸς οἰκοδομὴν τῆς ἐκκλησίας ἐπιςολὴν συνέταξεν, ἥτις εἰς τὰς ἀποκρύφους γραφὰς ἀναγινώσκεται. οὗτος ὕστερον διὰ ἰωάννην τὸν μαθητὴν, ὃς καὶ μάρκος ἐκαλεῖτο, χωρισθεὶς παύλου, οὐδὲν ἧττον τοῦ εὐαγγελικοῦ κηρύγματος ἔργον, ἐπιταγὲν αὐτῷ, ἐπλήρωσεν.

ΕΡΜΑΣ.

Ερμας, οὗ ὁ ἀπόςολος πρὸς ῥωμαίους γράφων μέμνηται, ἀσπάσασθε ἀσύγκριτον φλέγοντα, ἑρμᾶν πατρόβαν, ἑρμῆν, λέγεται αὐθέντης γεγενῆσθαι βίβλου, ἐπιγραφούσης ποιμὴν, ἥ τισιν ἀνατολικαῖς ἐκκλησίαις, δημοσίᾳ ἀναγινώσκεται. καὶ ἀληθῶς χρήσιμος ὁ λόγος, ἀφ' οὗ πολλοὶ τῶν παλαιῶν συγγραφέων, ὑπέκλεψαν μαρτυρίας, ἀλλὰ παρὰ τοῖς ῥωμαίοις ἄγνωστος εἶναι δοκεῖ.

ΦΙΛΩΝ ΙΟΥΔΑΙΟΣ.

Φιλων ἰουδαῖος, τεχθεὶς ἐν ἀλεξανδρείᾳ, γένους ἱερέων, διὰ τοῦτο παρ' ἡμῶν μεταξὺ τῶν ἐκκλησιαστικῶν συγγραφέων τάσσεται

ad Theſſalonicenſes duas. Præterea ad diſcipulos ſuos. Timotheo duas, Tito unã, Philomeni unã. Epiſtola aũt quæ fertur ad Hebræos, nõ eius credit, propter ſtyli ſermonisque diſtantiã. Sed uel Barnabæ iuxta Tertullianũ, uel Lucæ euangeliſtæ iuxta quoſdã, uel Clementis Romanæ poſtea eccleſiæ epiſcopi, quem aiunt ſententias Pauli proprio ordinaſſe & ornaſſe ſermone. Vel certe quia Paulus ſcribebat ad Hebræos, & propter inuidiam ſui apud eos, nominis titulum in principio ſalutationis amputauerat. Scripſerat ut Hebræus Hebræis hebraice, id eſt ſuo eloquio diſſertiſſimè, ut ea quæ eloquenter ſcripta fuerant in Hebræo, eloquentius uerterentur in Græcũ, & hanc cauſam eſſe, quod à cæteris Pauli epiſtolis diſcrepare uideat. Legunt quidam & ad Laodicenſes, ſed ab omnibus exploditur.

BARNABAS CYPRIVS.

BARNABAS Cyprius, qui & Ioſeph leuites, cum Paulo gentium apoſtolus ordinatus, unam ad ædificationem eccleſiæ pertinentem epiſtolã compoſuit, quæ inter apocryphas ſcripturas legitur. Hic poſtea propter Ioannem diſcipulũ, qui & Marcus uocabatur, ſeparatus à Paulo, nihilominus euangelicæ prædicationis iniunctum ſibi opus exercuit.

HERMAN.

HERMAN, cuius apoſtolus Paulus ad Romanos ſcribens meminit: Salutate Aſyncritum Phlegontem, Herman, Patrobam, Hermen, & qui cum eis fratres ſunt. Aſſerunt autorem eſſe libri, qui appellatur paſtor, & apud quaſdã Græciæ eccleſias etiam publice legitur. Reuera utilis liber, multiq́ue de eo ſcriptorum ueterum uſurpauerunt teſtimonia, Sed apud Latinos penè ignotus eſt.

PHILO.

PHilo Iudæus, natione Alexandrinus de genere ſacerdotũ, idcirco à nobis ĩter ſcriptores eccleſiaſticos po

σεται, ἐπειδὴ περὶ τῆς πρώτης μάρκου εὐαγγελιστοῦ ἐν ἀλεξανδρείᾳ ἐκκλησίας γράφων, εἰς ἔπαινον τῶν ἡμετέρων χωρεῖ, οὐ μόνον αὐτόθι αὐτοὺς, ἀλλὰ καὶ ἐν πολλαῖς ἐπαρχίαις εἶναι φάσκων, καὶ τὰς οἰκήσεις αὐτῶν, καλῶν μοναστήρια. ἀφ' ὧν δηλοῦται τοιαύτην ἐξ ἀρχῆς τὴν τῶν χριστῷ πιστευσάντων ἐκκλησίαν γενέσθαι. ὁποῖοι ὄντως μοναχοὶ εἶναι ζηλοῦσι καὶ ἐπιθυμοῦσιν, ὥστε μηδὲν ἴδιον ἔχειν τινὰ, μηδὲ εἶναι εἰς αὐτοὺς πλούσιον ἢ πένητα, τὰς δὲ οὐσίας † τοῖς ἔθνεσι διανέμοντες, εὐχαῖς σχολάζουσι καὶ ψαλμοῖς, παιδεύσει τε καὶ ἐγκρατείᾳ, οἵους καὶ λουκᾶς ἀναφέρει, τὸ πρῶτον ἐν ἱεροσολύμοις τοὺς πιστοὺς γεγενῆσθαι. Λέγουσι τοῦτον ἐπὶ γαΐου καλλιγόλα ἐν τῇ ῥώμῃ κινδυνεῦσαι, ὅτε καὶ πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη. καὶ ὅτι τὸ δεύτερον ἦλθε πρὸς κλαύδιον ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἀποστόλῳ πέτρῳ, καὶ τοῦτον ἐσχηκέναι φιλίαν. καὶ διὰ τοῦτο τοὺς σπουδαστὰς μάρκου τοῦ μαθητοῦ πέτρου, ἐν ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. Εἰσὶ τούτου περιφανῆ καὶ ἀναρίθμητα συντάγματα, εἰς πέντε λόγους μωϋσέως, οὕτως περὶ συγχύσεως γλωσσῶν λόγος εἷς. περὶ φύσεως καὶ εὑρήματος. περὶ ὧν κατὰ νοῦν εὐχόμεθα καὶ ἀπομαρτυρόμεθα, λόγος εἷς. περὶ παιδεύσεως λόγος εἷς. περὶ κληρονόμου τῶν θείων πραγμάτων λόγος εἷς. περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων λόγος εἷς. περὶ τριῶν δυνάμεων λόγος εἷς. περὶ τῶν ἐναλλαγεισῶν γραφῶν παρά τινων λόγος εἷς. περὶ συνθηκῶν λόγοι δύο. περὶ βίου φιλοσοφικοῦ λόγος εἷς. περὶ γιγάντων λόγος εἷς. περὶ τοῦ τοὺς ὀνείρους παρὰ θεοῦ πέμπεσθαι λόγοι πέντε. Ζητημάτων καὶ ἑρμηνευμάτων τῆς ἐξόδου λόγοι πέντε. περὶ τῆς σκηνῆς καὶ δεκαλόγου, λόγοι τέσσαρες, περὶ θυσιῶν, περὶ ὑποσχέσεων, ἤτοι καταρῶν, περὶ προνοίας, περὶ ἰουδαίων, περὶ διαγωγῆς βίου, περὶ ἀλεξάνδρου, καὶ ὅτι ἴδιον λογισμὸν ἔχει τὰ ἄλογα, ὅτι πᾶς ἄφρων δοῦλός ἐστιν, περὶ διαγωγῆς τῶν ἡμετέρων, περὶ οὗ ἔμπροσθεν εἴπομεν, τουτέστι τῶν ἀποστόλων λόγος εἷς, ὃν ἐπέγραψε, περὶ βίου θεωρητικοῦ ἱκετῶν, τουτέστιν, ὅτι τὰ ἐπουράνια ἀτενίζουσι καὶ ἀεὶ εὔχονται τῷ θεῷ, περὶ γεωργίας λόγοι δύο, περὶ μέθης δύο. Εἰσὶ καὶ ἕτερα αὐτοῦ συγγράμματα, οὔπω εἰς τὰς ἐμὰς χεῖ-

† Græcus hoc loco gẽtibus legiſſe uidetur pro egentibus.

nitur, quia librum de prima Marci euangeliſtæ apud Alexandriam ſcribens eccleſia, in noſtrorum laude uerſatus eſt. Non ſolum eos ibi, ſed in multis quoque prouincijs eſſe memorans, & habitacula eorum dicens monaſteria. Ex quo apparet talem primum Chriſto credentium fuiſſe eccleſiam, quales nunc monachi eſſe nituntur & cupiunt, ut nihil cuiuſquam proprium ſit, nullus inter eos diues, nullus pauper, patrimonia egentibus diuiduntur, orationi uacatur, & pſalmis, doctrinæ quoque & continentiæ, quales & Lucas refert, primum Hieroſolymæ fuiſſe credentes. Aiunt hunc ſub Caio Caligula Romæ periclitatum, quo legatus gentis ſuæ miſſus fuerat. Quum ſecunda uice ueniſſet ad Claudium, in eadem urbe locutum eſſe cum apoſtolo Petro, eiuſq; habuiſſe amicitias, & ob hanc cauſam etiam eccleſiam Marci, diſcipuli Petri, apud Alexandriam ſectatores ornaſſe laudibus. Extant huius præclara & innumerabilia opera in quinque libros Moyſi. De confuſione linguarum, liber unus. De natura & inuentione liber unus. De his quæ ſenſu precamur & teſtamur, liber unus. De eruditione, liber unus. De hærede diuinarum rerum liber unus. De diuiſione æqualium & contrariorum liber unus. De tribus uirtutibus liber unus. Quare quorundã in ſcripturis mutata ſunt nomina, liber unus. De pactis libri duo. De uita ſapiẽtis liber unus. De gigantibus liber unus. Quod ſomnia mittantur à deo, libri quinque. Quæſtionum & ſolutionũ in Exodo, libri quinque. De tabernaculo & decalogo, libri quatuor. Necnon de uictimis & repromiſſionibus, ſiue maledictis, de prouidentia, de Iudæis, de conuerſatione uitæ, de Alexandro dicente, quod propriam rationem muta animalia habeant, & quod omnis inſipiens ſeruus ſit, & de uita noſtrorum librum, de quo ſupra diximus, id eſt de apoſtolicis uiris, quem & inſcripſit περὶ βίου θεωρητικοῦ ἱκετῶν, quod uidelicet cœleſtia contemplentur, & ſemper deum orent: & ſub alijs indicibus, de agricultura duo, de ebrietate duo. Sunt & alia eius monumenta ingenij, quæ in noſtras ma

ρας ἐλθόντα. περὶ τούτου ἐστὶν ἡ παροιμία τῶν ἑλλήνων, ἢ πλάτων φιλωνίζει, ἢ φίλων πλατωνίζει, τοσαύτη ἐστὶν ὁμοιότης τῆς τε διανοίας καὶ φράσεως.

ΛΟΥΚΙΟΣ ΑΝΝΕΩΣ ΣΕΝΕΚΑ.

ΛΟΥΚΙΟΣ ἄννεως σένεκα κυρδουβώσιος, σώζοντος στωικοῦ μαθητὴς, καὶ θεῖος πρὸς πατρὸς, λουκιανοῦ τοῦ ποιητοῦ, πάνυ ἐγκρατὴς, ὃν οὐ πάντως κατηρίθμουν ἐν τῷ καταλόγῳ τῶν ἁγίων, εἰ μὴ αἱ ἐπιστολαὶ τούτου προεξέπεμπον, αἳ παρὰ πολλῶν ἀναγινωσκόμεναι, παύλου ἀποστόλου πρὸς σένεκα, καὶ σένεκα πρὸς παῦλον. νέρωνος ὢν διδάσκαλος, καὶ κατ᾽ ἐκεῖνο καιροῦ δυνατὸς, ηὔχετο τοιοῦτον ἔχειν παρὰ τοῖς ἰδίοις τόπον, οἷον παῦλος παρὰ τοῖς χριστιανοῖς. οὗτος πρὸ ἐνιαυτοῦ δύο τοῦ παθεῖν τοὺς ἀποστόλους πέτρον καὶ παῦλον, παρὰ νέρωνος ἐσφάγη.

ΙΩΣΗΠΟΣ.

ΙΩΣΗΠΟΣ ματθίου υἱὸς, ἱεροσολύμων ἱερεὺς, παρὰ οὐεσπασιανοῦ ἁλοὺς, μετὰ τίτου τοῦ υἱοῦ αὐτοῦ καταλείφθη, ὃς εἰς ῥώμην ἐλθὼν, ἑπτὰ λόγους τῆς ἰουδαϊκῆς ἁλώσεως, τοῖς δύο βασιλεῦσι τῷ τε πατρὶ καὶ τῷ υἱῷ προσήνεγκεν, οἵτινες καὶ τῇ δημοσίᾳ βιβλιοθήκῃ παρεδόθησαν. καὶ διὰ τὴν δόξαν τῆς εὐφυΐας, ἀνδριάντος ἠξιώθη. ἔγραψε δὲ καὶ τῆς ἀρχαιολογίας λόγους εἴκοσι, ἀπὸ τῆς τοῦ κόσμου ἀρχῆς, ἕως τεσσαρεσκαιδεκάτου ἔτους δομετιανοῦ καίσαρος, καὶ δύο ἀρχαιότητος κατὰ ἀππίωνος γραμματικοῦ ἀλεξανδρέως, ὃς ἐπὶ καλλιγόλα πρεσβευτὴς ἀπεστάλη παρὰ τοῦ μέρους τῶν ἐθνικῶν, καὶ τὸν φίλωνος λόγον περιέχοντα κατάγνωσιν τῶν ἰουδαίων ἔγραψε. ἔστι καὶ ἄλλος αὐτοῦ λόγος περὶ αὐτοκράτορος λογισμοῦ ἐξαίρετος πάνυ, ἐν ᾧ καὶ τὸ πάθος τῶν μακκαβαίων ἐμνήσθη. οὗτος ἐν τῷ ὀκτωκαιδεκάτῳ τῆς ἀρχαιολογίας λόγῳ, φανερῶς ὁμολογεῖ, διὰ τὸν ὄγκον τῶν σημείων, τὸν ΧΡΙΣΤΟΝ ἐσφάχθαι παρὰ φαρισαίων, καὶ ἰωάννην τὸν βαπτιστὴν ἀληθῶς γεγενῆσθαι προφήτην, καὶ διὰ τὴν σφαγὴν ἰακώβου τοῦ ἀποστόλου τὰ ἱεροσόλυμα πεπορθῆσθαι. ἔγραψε δὲ καὶ περὶ τοῦ κυρίου οὕτως. γίνεται δὲ κατὰ τοῦτον τὸν χρόνον ΙΗΣΟΥΣ σοφὸς ἀνὴρ, εἴγε ἄνδρα αὐτὸν λέγειν χρή. ἦν γὰρ παραδόξων

nus non peruenerunt. De hóc uulgo apud Græcos dicit, ἢ πλάτων φιλωνίζει, ἢ φίλων πλατωνίζει, id eſt aut Plato Philonem ſequitur, aut Platonem Philo, tanta eſt ſimilitudo ſenſuum & eloquij.

LVCIVS ANNEVS SENECA.

LVCIVS Anneus Seneca Cordubenſis Sotionis Stoici diſcipulus, & patruus Lucani poëtæ, continentiſſimæ uitæ fuit, quem non ponerem in catalogo ſanctorum, niſi me illæ epiſtolæ prouocarent, quæ leguntur à plurimis, Pauli ad Senecam & Senecæ ad Paulum. In quibus quũ eſſet Neronis magiſter, & illius temporis potentiſſimus, optare ſe dicit eius eſſe loci apud ſuos, cuius ſit Paulus apud Chriſtianos. Hic ante biennium quàm Petrus & Paulus coronarentur martyrio, à Nerone interfectus eſt.

IOSEPHVS.

IOSEPHVS Mattathiæ filius, ex Hieroſolymis ſacerdos, à Veſpaſiano captus, cum Tito filio eius relictus eſt. Hic Romã ueniens, ſeptem libros Iudaicæ captiuitatis Imperatoribus patri filioq; obtulit, qui & bibliothecæ publicæ traditi ſunt. Et ob ingenij gloriam, ſtatuam quoque meruit Romæ. Scripſit autem & alios uiginti antiquitatum libros, ab exordio mundi, uſq; ad decimumquartũ annum Domitiani Cæſaris, & duos ἀρχαιότητος aduerſum Appionem Grammaticum Alexandrinum, qui ſub Caligula legatus miſſus ex parte gentilium, contra Philonem etiam librum, uituperationem gentis Iudaicæ continentem ſcripſerat. Alius quoque liber eius qui inſcribitur, περὶ αὐτοκράτορος λογισμοῦ, ualde elegãs habet, in quo & Machabæorũ ſunt digeſta martyria. Hic in decimo octauo antiquitatũ libro, manifeſtiſſimè confitet, propter magnitudinem ſignorũ, Chriſtum à Phariſæis interfectũ: & Ioannẽ baptiſtam uerè prophetã fuiſſe: & propter interfectionẽ Iacobi apoſtoli, dirutam Hieroſolymam. Scripſit autem de domino in hunc modũ: Eodem tempore fuit Ieſus uir ſapiens, ſi tamen uirum eum oportet dicere. Erat eñi mira

δόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τ' ἀληθῆ δεχομένων, καὶ πολλοὺς μὲν ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ ἑλληνισμοῦ ἐπηγάγετο, ὁ ΧΡΙΣΤΟΣ οὗτος ἦν, καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν, σταυρῷ ἐπιτετιμηκότος πιλάτου, οὐκ ἐπαύσαντο, οἱ τὸ πρῶτον αὐτὸν ἀγαπήσαντες. ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν, πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτα καὶ ἄλλα μυρία περὶ αὐτοῦ εἰρηκότων, εἴς τε νῦν τῶν χριστιανῶν ἀπὸ τοῦδε ὠνομασμένων οὐκ ἔλιπε τὸ φῦλον.

ΙΟΥΣΤΟΣ.

ΙΟΥΣΤΟΣ τιβεριάδος, ἐπαρχίας γαλιλαίας, ἐπεχείρησε μὲν καὶ αὐτὸς ἰουδαϊκὴν ἱστορίαν συντάξαι, καί τινα ὑπομνήματα περιγράφειν, ἀλλὰ τοῦτον ἰώσηπος ἐλέγχει ψευσάμενον. καὶ γὰρ ἐν ἐκείνῳ τῷ καιρῷ συνέγραφεν, ὅτε καὶ ἰώσηπος.

ΚΛΗΜΗΣ.

ΚΛΗΜΗΣ, περὶ οὗ παῦλος ὁ ἀπόστολος πρὸς φιλιππησίους γράφων λέγει. μετὰ καὶ κλήμεντος. τέταρτος μετὰ πέτρον ῥώμης ἐπίσκοπος, δεύτερος γὰρ λῖνος ἐγένετο, τρίτος ἀνέγκλητος. εἰ καὶ πολλοὶ τῶν ῥωμαίων ὑπολαμβάνουσι, δεύτερον μετὰ τὸν ἀπόστολον γεγενῆσθαι κλήμεντα. Ἔγραψεν ἐκ προσώπου τῆς ἐκκλησίας ῥώμης, πρὸς τὴν ἐν κορίνθῳ ἐκκλησίαν ἐπιστολὴν πάνυ θαυμαστήν, ἥτις ἐν φανεροῖς τόποις δημοσίᾳ ἀναγινώσκεται, τῷ χαρακτῆρι τῆς πρὸς ἑβραίους ἐπιστολῆς παύλου συνᾴδουσα, οὐ μόνον νοήμασιν, ἀλλὰ καὶ λόγοις, καὶ ἁπλῶς μεγίστη ἐστὶν ἐν ἑκατέρᾳ ὁμοίωσις. Φέρεται καὶ ἑτέρα ἐξ ὀνόματος αὐτοῦ εἶναι ἐπιστολή, ἥτις παρὰ πάντων ἀποδοκιμάζεται. καὶ διάλογος πέτρου καὶ ἀππίωνος μακρῷ λόγῳ συνταγεῖσα, ἥν τινα εὐσέβιος εὐθύνει ἐν τῷ τρίτῳ τῆς ἐκκλησιαστικῆς ἱστορίας τεύχει. τελευτᾷ τῷ τρίτῳ ἐνιαυτῷ τραϊανοῦ, καὶ τὴν τούτου μνήμην ἄχρι τήμερον, ἡ ἐν τῇ ῥώμῃ οἰκοδομηθεῖσα ἐκκλησία φυλάττει.

ΙΓΝΑΤΙΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΙΓΝΑΤΙΟΣ τῆς ἐν ἀντιοχείᾳ ἐκκλησίας μετὰ πέτρον τὸν ἀπόστολον ἐπίσκοπος, διωγμὸν κινήσαντος τραϊανοῦ, θηριομαχῆσαι κελευσθείς, εἰς ῥώμην στέλλεται δέσμιος. πλέων δὲ καὶ ἐπιστὰς τῇ σμύρνῃ.

bilium patrator operum, & doctor eorum qui libenter ue ra ſuſcipiunt, plurimos quoq; tam de Iudæis quàm de gentibus, ſui habuit ſectatores, & credebatur eſſe Chriſtus: Quumq; inuidia noſtrorum principum, cruci eum Pilatus addixiſſet, nihilominus qui eum primum dilexerant, perſeuerauerunt. Apparuit em̃ eis tertia die uiuens. Multa & hæc & alia mirabilia, carminibus prophetarum de eo uaticinantibus, & uſq; hodie Chriſtianorum gens ab hoc ſortita uocabulum, non defecit.

IVSTVS.

IVSTVS Tiberienſis, de prouincia Galilæa, conatus eſt & ipſe Iudaicarum rerũ hiſtoriam texere, & quoſdam commentariolos de ſcripturis componere. Sed hunc Ioſephus arguit mendacij. Conſtat aũt illum eo tempore ſcripſiſſe, quo & Ioſephus.

CLEMENS.

CLEMENS, de quo apoſtolus Paulus ad Philippenſes ſcribens, ait, Cum Clemente & cæteris cooperatoribus meis, quorum nomina ſcripta ſunt in libro uitæ. quartus poſt Petrum Romæ epiſcopus. Siquidem ſecundus Linus fuit, & tertius Anacletus. Tametſi plærìq; Latinorum, ſecundum poſt Petrum apoſtolum putent fuiſſe Clementem. Scripſit ex perſona Romanæ eccleſiæ, ad eccleſiam Corinthiorum ualde utilem epiſtolam, quæ & in nonnullis locis publice legitur, quæ mihi uidetur charactêri epiſtolæ, quæ ſub Pauli nomine ad Hebræos fertur conuenire. Sed & multis de eadem epiſtola, non ſolum ſenſibus, ſed iuxta uerborum quoq; ordinẽ abutitur. Omnino grandis in utraq; ſimilitudo eſt. Fertur & ſecũda eius nomine epiſtola, quæ à ueteribus reprobatur. Et diſputatio Petri & Appionis longo ſermone conſcripta, quam Euſebius in tertio hiſtoriæ eccleſiaſticæ uolumine coarguit. Obijt tertio Traiani anno, & nominis eius memoriam uſq; hodie Romæ extructa eccleſia cuſtodit.

IGNATIVS.

IGNATIVS Antiochenæ eccleſiæ, tertius poſt Petrũ apoſtolũ epiſcopus, cõmouente perſecutionẽ Traiano damnatus ad beſtias, Romã uinctus mittit. Cũq; nauigãs

σμύρνῃ, ἐν ᾗ πολύκαρπος ἀκροατὴς ἰωάννου ἐπίσκοπος ἦν, ἔγραψε πρὸς ἐφεσίους ἐπιστολὴν μίαν, ἄλλην πρὸς μαγνησιανούς, τρίτην πρὸς τραλλιανούς, τετάρτην πρὸς ῥωμαίους, κἀκεῖθεν ἐξιὼν, ἔγραψε φιλαδελφεῦσι, καὶ σμυρναίοις, καὶ ἰδικῶς πρὸς πολύκαρπον, παρατιθέμενος αὐτῷ τὴν ἐν ἀντιοχείᾳ ἐκκλησίαν, ἐν ᾗ καὶ περὶ τοῦ εὐαγγελίου τοῦ πρώην μεταφρασθέντος, ἐκ προσώπου ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ μνήμην ποιεῖται λέγων. Ἐγὼ δὲ καὶ μετὰ τὴν ἀνάστασιν ἐν σώματι αὐτὸν εἶδον, καὶ πιστεύω ὅτι ἐστι, καὶ ὅτε ἦλθον πρὸς πέτρον καὶ τοὺς σὺν αὐτῷ ὄντας, εἶπεν αὐτοῖς, ψηλαφήσατέ με, ὅτι οὐκ εἰμὶ δαιμόνιον σωματικόν. καὶ εὐθέως ἥψαντο αὐτοῦ, καὶ ἐπίστευσαν. ἄξιον δὲ φαίνεται, ἐπείπερ τοιούτου ἀνδρὸς πεποιήμεθα μνήμην, ἐκ τῆς ἐπιστολῆς αὐτοῦ τῆς πρὸς ῥωμαίους γραφείσης, ὀλίγα ἐκθέσθαι. Ἀπὸ συρίας ἄχρι ῥώμης, θηριομαχῶ ἐν θαλάσσῃ καὶ ἐν γῇ, νυκτὸς καὶ ἡμέρας, δέκα συνδεδεμένος λεοπάρδοις, τουτέστι, στρατιώταις τοῖς φυλάσσουσί με, οἵτινες καὶ μετὰ εὐεργεσίαν χείρονες γίνονται. αἱ γὰρ ἀνομίαι αὐτῶν, παίδευσίς μοι ἐστί, ἀλλ' οὐ διὰ τοῦτο ἐδικαιώθην. καὶ εἴθε ἀπολαύσω τῶν θηρίων τῶν εὐτρεπισθέντων μοι, ἅτινα εὔχομαι ὀξύτατα εἶναι μοι εἰς ἀπώλειαν, καὶ ἐνδελεχίζειν εἰς τὴν ἐμὴν κατάβρωσιν, μήπως ὃν τρόπον ἐπὶ τῶν ἄλλων μαρτύρων, μὴ τολμήσωσι τοῦ σώματός μου ἅψασθαι. Εἰ γὰρ ἐπελθεῖν μὴ θελήσουσιν, ἐγὼ βιάσομαι, ποθῶν καταβρωθῆναι. Σύγγνωτέ μοι τεκνία, τὸ συμφέρον μοι, ἐγὼ οἶδα. Νῦν ἄρχομαι εἶναι μαθητής, οὐδὲν τούτων τῶν ὁρωμένων ἐπιθυμῶ, ἵνα τὸν ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ εὕρω. πῦρ, σταυρός, θηρία, σύγκλασις ὀστέων, καὶ τῶν μελῶν διασπασμός, καὶ πάντος τοῦ σώματος συντριβή, καὶ βάσανοι τοῦ διαβόλου, εἰς ἐμὲ ἔλθωσιν, ἵνα ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ἀπολαύσω. κατακριθεὶς τοίνυν θηριομαχῆσαι, καὶ πόθῳ τοῦ παθεῖν, ἀκούσας τοῦ βρυγμοῦ τῶν λεόντων ἔφη, σῖτος ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ εἰμί, καὶ εὔχομαι τοῖς ὀδοῦσι τῶν θηρίων ἀλεσθῆναι, ἵνα ἄρτος καθαρὸς εὑρεθῶ. ἔπαθε δεκάτῳ ἔτει τραϊανοῦ. τὸ δὲ λείψανον ἔξω τῆς δαφνιτικῆς πύλης ἀντιοχείας κατάκειται ἐν τῷ κοιμητηρίῳ.

ΠΟΛΥΚΑΡΠΟΣ

Smyrnam ueniſſet, ubi Polycarpus auditor Ioannis epiſcopus erat, ſcripſit unam epiſtolam ad Epheſios, alteram ad Magneſianos, tertiam ad Trallenſes, quartam ad Romanos: & inde egrediens ſcripſit ad Philadelpheos, & ad Smyrnæos, & proprie ad Polycarpum, commendans illi Antiochenſem eccleſiam, in qua & de euangelio, quod nuper à me translatum eſt ſuper perſona Chriſti ponit teſtimoniũ, dicens: Ego uero & poſt reſurrectionem in carne eum uidi, & credo quia ſit. Et quando uenit ad Petrũ & ad eos qui cum Petro erant, dixit eis: Ecce palpate me, & uidete, quia non ſum dæmonium corporale. Et ſtatim tetigerunt eum, & crediderunt. Dignum autem uidetur, quia tanti uiri fecimus mentionem, & de epiſtola eius, quam ad Romanos ſcribit pauca ponere: De Syria uſque ad Romã pugno ad beſtias, in mari & in terra, nocte die'que ligatus cum decẽ leopardis, hoc eſt, militibus, qui me cuſtodiunt, quibus & cum benefeceris peiores fiunt. Iniquitas autem eorum mea doctrina eſt, ſed non idcirco iuſtificatus ſum. Vtinam fruar beſtijs, quæ mihi ſunt præparatæ, quas & oro mihi ueloces eſſe ad interitum, & ad ſupplicia, & allici ad comedendum me, ne ſicut & aliorũ martyrum non audeant corpus attingere. Quod ſi uenire noluerint, ego uim faciam ut deuorer. Ignoſcite mihi filioli, quid mihi proſit, ego ſcio. Nunc incipio Chriſti eſſe diſcipulus, nihil de his quæ uidentur deſiderans, ut Ieſum Chriſtum inueniam. Ignis, crux, beſtiæ, confractio oſſiũ, membrorum diuiſio, & totius corporis cõtritio, & tota tormenta diaboli, in me ueniant, tantũ ut Chiſto fruar. Quumq; iam damnatus eſſet ad beſtias, ardore patiendi quum rugientes audiret leones, ait: Frumentum Chriſti ſum, dentibus beſtiarum molar, ut panis mundus inueniar. Paſſus eſt anno undecimo Traiani. Reliquiæ corporis eius Antiochiæ iacent, extra portam Daphniticam, in cœmiterio.

ΠΟΛΥΚΑΡΠΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΠΟΛΥΚΑΡΠΟΣ ἰωάννου ἀποστόλου μαθητὴς, καὶ παρ' αὐτοῦ, τῆς σμυρναίων ἐπίσκοπος, κατασταθεὶς, πάσης τῆς ἀσίας ἀρχηγὸς γέγονε. διὰ τὸ πολλοῖς τῶν ἀποστόλων καὶ τῶν τὸν χριστὸν ἑωρακότων συντετυχηκέναι, καὶ διδασκάλους ἐσχηκέναι. οὗτος διά τινας αἰτίας τοῦ πάσχα, βασιλεύοντος ἀντωνίου τοῦ πίου, καὶ ἐπισκοποῦντος τῆς ἐκκλησίας ῥώμης ἀνικήτου, ἐπέστη τῇ ῥώμῃ, ἐν ᾗ καὶ πολλοὺς τῷ δόγματι μαρκίωνος καὶ βαλεντίνου πιστεύσαντας, ἀνεκαλέσατο. Ἀπαντήσαντος δὲ αὐτῷ δὴ αὐτομάτου μαρκίωνος, καὶ εἰρηκότος αὐτῷ, γνώριζε ἡμᾶς; Ἀπεκρίθη, γνωρίζω τὸν πρωτότοκον τοῦ διαβόλου. μεταταῦτα βασιλεύοντος μάρκου ἀντωνίνου, καὶ λουκίου αὐρηλίου κομόδου, τετάρτου μετὰ νέρωνα διωγμοῦ κινηθέντος, ἐν σμύρνῃ θεωροῦντος τοῦ ἀνθυπάτου, καὶ παντὸς τοῦ δήμου ἐν τῷ ἀμφιθεάτρῳ κατ' αὐτοῦ βοῶντος, πυρὶ παρεδόθη. Ἔγραψε πρὸς φιλιππησίους πάνυ θαυμαστὴν ἐπιστολὴν, ἥτις ἄχρι τοῦ παρόντος, ἐν τῇ ἀσιανῇ συνόδῳ ἀναγινώσκεται.

ΠΑΠΙΑΣ ΕΠΙΣΚΟΠΟΣ.

ΠΑΠΙΑΣ ἰωάννου ἀκροατὴς, ἱεραπολίτης, καὶ ἀσίας ἐπίσκοπος, πέντε μόνους συνέταξε λόγους, οὓς καὶ ἐπέγραψεν ἐκθέσεις λόγων κυρίου. ἐν οἷς λέγων ἐν προοιμίοις μὴ ἀκολουθεῖν ποικίλαις φήμαις, ἀλλὰ τοὺς ἀποστόλους ἔχειν ἡγουμένους, ἔφη, κατενόουν τί ἀνδρέας, τί πέτρος εἰρήκασι, τί φίλιππος, τί θωμᾶς, τί ἰάκωβος, τί ἰωάννης, τί ματθαῖος, καὶ οἱ λοιποὶ τοῦ κυρίου μαθηταί, τί δὲ ἀριστίων καὶ ὁ πρεσβύτερος ἰωάννης, μαθηταὶ τοῦ κυρίου ἐλάλησαν. οὐδὲ γάρ με τοσοῦτον βίβλοι εἰς ἐνάγνωσιν ὠφελοῦσιν, ὅσον ζῶσα φωνὴ, ἥτις ἄχρι τοῦ παρόντος διὰ τῶν συγγραψαμένων ἀκμάζει. δῆλον δὲ δὴ αὐτοῦ τοῦ καταλόγου τῶν ὀνομάτων, ἄλλον εἶναι ἰωάννην ἀπόστολον, καὶ ἄλλον εἶναι πρεσβύτερον ἰωάννην, ὅν τινα ὕστερον μετὰ τὸν ἀριστίωνα καταριθμεῖ. ταῦτα δὲ εἰρήκαμεν διὰ τὰ προαναφερόμενα, ἐν οἷς εἴπομεν, τὰς δύο ὑστέρας ἐπιστολὰς, μὴ εἶναι ἰωάννου τοῦ ἀποστόλου, ἀλλὰ τοῦ πρεσβυτέρου. οὗτος λέγεται χιλίων ἐνιαυτῶν ἰουδαϊκὴν ἐκδεδωκέναι δευτέρωσιν, ᾧ ἠκολούθησαν εἰρηναῖος καὶ ἀπολλινάριος καὶ οἱ λοιποὶ, οἵτινες μετὰ τὴν ἀνάστασιν φάσκουσιν ἐν τῷ σώματι μετὰ τῶν ἁγίων τὸν κύριον βασιλεύσειν. καὶ τερτυλλιανὸς

δὲ ἐν

POLYCARPVS.

POLYCARPVS Ioannis Apoſtoli diſcipulus, & ab eo Smyrnæ epiſcopus ordinatus, totius Aſiæ princeps fuit. Quippe qui nõnullos apoſtolorũ, & eorum qui uiderant dominũ, magiſtros habuerit & uiderit. Hic propter quaſdam ſuper die paſchæ quæſtiones, ſub Imperatore Antonino Pio, eccleſiam in urbe regente Aniceto, Romam uenit, ubi plurimos credentiũ Marcionis & Valentini perſuaſione deceptos, reduxit ad fidẽ. Quumq; ei fortuito obuiam fuiſſet Marcion, & diceret: Cognoſcis nos? Reſpondit: Cognoſco primogenitũ diaboli. Poſtea uero regnante M. Antonino & L. Aurelio Commodo, quarta poſt Neronem perſecutione, Smyrnæ, ſedente proconſule, & uniuerſo populo in amphitheatro aduerſus eum perſonante, igni traditus eſt. Scripſit ad Philippenſes ualde utilem epiſtolam, quæ uſque hodie in Aſiæ conuentu legitur.

PAPIAS IOANNIS.

PAPIAS Ioannis auditor Hierapolitanus epiſcopus in Aſia, quinque tantum ſcripſit uolumina, quæ prænotauit, explanatio ſermonum domini. In quibus quũ ſe in præfatione aſſerat non uarias opiniones ſequi, ſed apoſtolos autores habere, ait: Conſiderabam quid Andreas, quid Petrus dixiſſent, quid Philipus, quid Thomas, quid Iacobus, quid Ioannes, quid Matthæus, uel alius quilibet diſcipulorum domini, quid etiam Ariſtion & ſenior Ioannes, diſcipuli domini loquebantur. Non enim tantum mihi libri ad legendum proſunt, quantum uiua uox, uſq; hodie in ſuis autoribus perſonans. Ex quo apparet ex ipſo catalogo nominũ, alium eſſe Ioannẽ, qui inter apoſtolos ponit, & alium ſeniorem Ioannẽ, quem poſt Ariſtionem enumerat. Hoc autẽ diximus propter ſuperiorẽ opinionẽ, quã à plæriſq; retulimus traditã, duas poſteriores epiſtolas Ioannis nõ apoſtoli eſſe, ſed preſbyteri. Hic dicitur mille annorũ Iudaicam ædidiſſe δευτέρωσιν, quẽ ſecuti ſunt Irenæus et Apollinarius, et cæteri, qui poſt reſurrectionẽ aiũt in carne cum ſanctis dominum regnaturum. Tertullianus

δὲ ἐν τῇ βίβλῳ τῇ περὶ τῆς ἐλπίδος τῶν πιστῶν, καὶ βικτωρῖνος πεταβῖνος, καὶ λακτάντιος ταύτῃ τῇ δοκήσει εἵλκωνται.

ΚΟΥΑΔΡΑΤΟΣ.

ΚΟΥΑΔΡΑΤΟΣ τῶν ἀποστόλων μαθητὴς, παθόντος πουπλίου ἀθηνῶν ἐπισκόπου ὑπὲρ τοῦ χριστοῦ, εἰς τὸν αὐτοῦ τόπον ὑπεισέρχεται, καὶ τὴν ἐκκλησίαν ἐν μεγάλῃ ταραχῇ διασκορπισθεῖσαν συνάγει. καὶ ἡνίκα ἀδριανὸς ἐν ἀθήναις ἐχείμαζεν ἐν ἐλευσῖνι γενόμενος, καὶ πάντα σχεδὸν τὰ τῆς ἑλλάδος μυστήρια μυηθεὶς, δέδωκεν ἀφορμὴν ἐπὶ τὸ τοὺς μισοῦντας τοὺς χριστιανοὺς, καὶ δίχα βασιλικῆς κελεύσεως κολάσαι, ἐπέδωκε βίβλον ὑπὲρ τῆς ἡμετέρας θρησκείας συντεθεῖσαν, πάνυ χρηστὴν, καὶ γέμουσαν λογισμοῦ καὶ πίστεως, ἀξίαν τε τῆς ἀποστολικῆς παιδεύσεως, ἐν ᾗ καὶ τὴν ἀρχαιότητα τῆς ἰδίας ἡλικίας δεικνὺς ἔφη, πολλοὺς ἑωρακέναι τοὺς ὑπὸ τοῦ κυρίου ποικίλαις ἐν τῇ ἰουδαίᾳ κάμνοντας νόσοις ἰαθέντας, καὶ ὅτι τινὲς ἐκ νεκρῶν ἀνέστησαν.

ΑΡΙΣΤΕΙΔΗΣ.

ΑΡΙΣΤΕΙΔΗΣ ἀθηναίων φιλόσοφος εὐφραδὴς, καὶ κατὰ τὴν προτέραν διαγωγὴν, μαθητὴς ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ. τεῦχος δόγματος ἡμετέρου, ἀνάμεστον λογισμοῦ, κατ' ἐκεῖνο καιροῦ, ἐν ᾧ καὶ κουαδρᾶτος ἀδριανῷ τῷ βασιλεῖ ἐπέδωκε, τουτέστιν ἀπολογητικὸν ὑπὲρ τῶν χριστιανῶν, ὅπερ ἄχρι τοῦ παρόντος παρὰ τοῖς φιλολόγοις σώζεται.

ΑΓΡΙΠΠΑΣ.

ΑΓΡΙΠΠΑΣ, ὁ ἐπίκλην κάστωρ, ἀνὴρ πάνυ πεπαιδευμένος, κατὰ τῶν εἰκοσιτεσσάρων βασιλείδου αἱρετικοῦ λόγων τῶν εἰς τὸ εὐαγγέλιον παρ' αὐτοῦ περιφρασθέντων γενναίως ἐξηγήσατο, πάντα αὐτοῦ τὰ μυστήρια ἐκφαίνων, καὶ τοὺς προφήταις συναπαριθμουμένους, βαρκαβᾶν καὶ μαρκώβ, καὶ πρὸς φόβον τῶν ἀκροωμένων, ἕτερά τινα βάρβαρα ὀνόματα, καὶ τὸν μέγιστον αὐτοῦ θεὸν ἀβραξάς, οἷα ἐν αὐτῷ περιέχοντα κατὰ τὸν ἀριθμὸν τῆς γραικῆς ψηφιζόμενον. τελευτῶντος βασιλείδου γνωστικοὶ ἐν ἀλεξανδρείᾳ ἐκλήθησαν ἐν τοῖς χρόνοις ἀδριανοῦ, ὅτε καὶ χόχιβος ὁ τῶν ἰουδαίων ἡγούμενος, πολλοὺς τῶν χριστιανῶν, ποικίλαις τιμωρίαις ἀνείλωσεν.

ΗΓΗΣΙΠΠΟΣ

quocꝫ in libro de ſpe fidelium, & Victorinus Pictauienſis, & Lactantius hac opinione ducuntur.

QVADRATVS.

QVADRATVS apoſtolorũ diſcipulus, Publio Athenarum epiſcopo, ob Chriſti fidem martyrio coronato, in locum eius ſubſtituitur, & eccleſiam grandi terrore diſperſam, fide & induſtria ſua congregat. Quumcꝫ Hadrianus Athenis exegiſſet hyemem, inuiſens Eleuſinam & omnibus penè Græciæ ſacris initiatus, dediſſet occaſionem his, qui Chriſtianos oderant, abſcꝫ præcepto imperatoris uexare credentes, porrexit ei librum pro religione noſtra compoſitum, ualde utilem, plenumcꝫ rationis & fidei, & apoſtolica doctrina dignum, in quo & antiquitatem ſuæ ætatis oſtendens, ait, plurimos à ſe uiſos, qui ſub domino uarijs in Iudæa oppreſſi calamitatibus ſanati fuerant, & qui à mortuis reſurrexerant.

ARISTIDES.

ARISTIDES Athenienſis philoſophus eloquentiſſimus, & ſub priſtino habitu diſcipulus Chriſti, uolumen, noſtri dogmatis rationem continens, eodem tempore quo & Quadratus Hadriano principi dedit, id eſt apologeticum pro Chriſtianis, quod uſcꝫ hodie perſeuerans, apud philologos ingenij eius indicium eſt.

AGRIPPA.

AGRIPPA cognomento Caſtor, uir ualde doctus, aduerſum uigintiquatuor Baſilidis hæretici uolumina, quæ in euangeliũ confecerat, fortiſſime diſſeruit, prodens eius uniuerſa myſteria, & prophetas enumerans, Barcaban & Marcob, & ad terrorem audientiũ alia quædam barbara nomina, & deum maximum eius Abraxas, qui quaſi annum contines, iuxta Græcorum numerũ ſupputetur. Mortuus eſt autem Baſilides, à quo Gnoſtici in Alexandria temporibus Hadriani, qua tẽpeſtate & Chochibus dux Iudaicæ factionis, Chriſtianos uarijs ſupplicijs enecauit.

ΗΓΗΣΙΠΠΟΣ.

ΗΓΗΣΙΠΠΟΣ τῶν χρόνων τῶν ἀποστόλων, πάσας ἀπὸ τοῦ πάθους τοῦ κυρίου, ἕως τῶν ἰδίων χρόνων, τῶν ἐκκλησιαστικῶν πράξεων ὑφαίνων ἱστορίας, καὶ πολλὰ ἕτερα εἰς ὄφελος τῶν ἀναγινωσκόντων συντείνοντα, πανταχόθεν συλλέγων, πέντε συνέθηκε βίβλους, ἁπλουστέρῳ λόγῳ, ὥς τε ἐκείνων διηγήσασθαι χαρακτῆρας, ὧν τῷ βίῳ διηκολούθει. φάσκει δὲ ἐπιστῆναι τῇ ῥώμῃ ἐπὶ ἀνικήτου, τοῦ μετὰ πέτρον δεκάτου ἐπισκόπου, καὶ διαπεπλεκέναι ἄχρι ἐλευθέρου ἐπισκόπου τῆς προειρημένης ῥώμης, ὃς ἀνικήτου διάκονος ἐγεγόνει. καὶ κατὰ τῶν εἰδώλων διηγούμενος, ἐκ ποίας πρῶτον πλάνης ηὐξήθη, συνέταξεν ἱστορίαν, δεικνὺς ἐν ποίοις ἤνθησε καιροῖς. φάσκει δὲ οὕτως. τύμβους τοῖς νεκροῖς, καὶ ναοὺς ἐποιήσαντο, καθὰ ἄχρι τοῦ δεῦρο ὁρῶμεν, ἀφ' ὧν ἐστι καὶ ἀντίνους, ὁ δοῦλος ἀδριανοῦ καίσαρος, οὗτινος καὶ γυμνικὸς ἀγὼν, ἐν τῇ ἀντινόῳ ἐπιτελεῖται, καὶ τὸ δίκαιον τῆς πόλεως, ἐκ τῆς αὐτοῦ προσηγορίας ἔτυχε, καὶ προφήτας ἐν τῷ ναῷ ἔστησε. τὸν δὲ ἀντίνοον ἐν τῷ μεταξὺ τῶν αὐδιλικίων ἐσχηκέναι ἀδριανὸν τινὲς συγγράφονται.

ΙΟΥΣΤΙΝΟΣ.

ΙΟΥΣΤΙΝΟΣ φιλόσοφος, καὶ τῷ σχήματι τῶν φιλοσόφων χρώμενος, ἀπὸ τῆς νεαπολιτῶν ἐπαρχίας παλαιστίνης, ἐκ πατρὸς πρίσκου βακχείου. ὑπὲρ τῆς θρησκείας τῶν χριστιανῶν πάνυ ἐκοπίασεν, ὥστε καὶ ἀντωνίνῳ τῷ ἐπίκλην πίῳ, καὶ τοῖς τούτου υἱεῦσι, καὶ τῇ συγκλήτῳ, βίβλον κατὰ τῶν ἐθνῶν συνταγεῖσαν ἐπιδοῦναι, τὸν ὀνειδισμὸν τοῦ σταυροῦ μὴ αἰσχυνόμενος, καὶ ἄλλην βίβλον τοῖς τοῦ αὐτοῦ ἀντωνίνου διαδόχοις, τουτέστι μάρκῳ ἀντωνίνῳ βήρῳ, καὶ λουκίῳ αὐρηλίῳ κομόδῳ. ἔστι καὶ ἄλλη αὐτοῦ βίβλος, κατὰ τῶν ἐθνῶν, ἐν ᾗ περὶ τῆς φύσεως τῶν δαιμόνων διαλέγεται, καὶ τέταρτον λόγον ὁμοίως κατὰ τῶν ἐθνῶν, ὃν ἐπέγραψεν ἔλεγχος, καὶ ἄλλον περὶ τῆς τοῦ θεοῦ μοναρχίας, καὶ ἄλλον ὠνόμασε ψάλτην, καὶ ἕτερον περὶ τῆς ψυχῆς. διάλογον κατὰ τῶν ἰουδαίων, ὃν ἔχει κατὰ τρύφωνος ἀρχηγοῦ τῶν ἰουδαίων. οὐ μὴν ἀλλὰ καὶ κατὰ μαρκίωνος ἐπίσημα τεύχη, ὧν τινων καὶ εἰρηναῖος ἐν τῷ πέμπτῳ λόγῳ τῷ κατὰ τῶν αἱρετικῶν μέμνηται, καὶ ἄλλη βίβλος κατὰ πασῶν τῶν αἱρέσεων, ἧς μέμνηται τῷ ἀπολογητικῷ, ὃν ἔδωκεν ἀντωνίνῳ τῷ πίῳ. οὗτος ἐν τῇ ῥώμῃ ἔχων

τὰς

EGESIPPVS.

EGESIPPVS uicinus apoſtolicorum temporum, & omnes à paſſione domini, uſq; ad ſuam ætatem, eccleſiaſticorum actuum texens hiſtorias, multaq; ad utilitatē legentium pertinentia, hinc inde congregans, quinque libros compoſuit, ſermone ſimplici, ut quorum uitam ſectabatur, dicendi quoq; exprimeret characterem. Aſſerit ſe ueniſſe ſub Aniceto Romam, qui decimus poſt Petrum epiſcopus fuit, & perſeueraſſe uſq; ad Eleutherium eiuſdē urbis epiſcopum, qui Aniceti quondam diaconus fuerat. Præterea aduerſum idola diſputans, ex quo primum errore creuiſſent, ſubtexit hiſtoriam, ex qua oſtendit, qua floruerit ætate. Ait em̄: Tumulos mortuis templaq; fecerūt, ſicut uſq; hodie uidemus, è quibus eſt & Antinous ſeruus Hadriani Cæſaris, cui & gymnicus agon exercetur, apud Antinoum ciuitatem, quam ex eius nomine condidit, & ſtatuit prophetas in templo. Antinoū autem in delitijs habuiſſe Cæſar Hadrianus ſcribitur.

IVSTINVS PHILOSOPHVS.

IVSTINVS philoſophus, habitu quoq; philoſophorū incedens, de Neapoli urbe Palæſtinæ, patre Priſco Bacchio, pro religione Chriſti plurimum laborauit, intantum ut Antonino quoque Pio & filijs eius, & ſenatui librum contra gentes ſcriptum daret, ignominiamq; crucis non erubeſceret. & alium librum ſucceſſoribus eiuſdem Antonini, M. Antonino Vero, & L. Aurelio Commodo. Extat eius & aliud uolumen contra gentes, ubi de dæmonum quoq; natura diſputat: & quartum aduerſus gentes, cui titulum prænotauit ἔλεγχος. ſed & alium de monarchia dei, & alium librum, quē prænotauit Pſalten, & alium de Anima. Dialogus contra Iudæum, quem habuit aduerſus Tryphonem principem Iudæorum, ſed & contra Marcionem inſignia uolumina, quorum Irenæus quoque in quinto aduerſus hæreſes libro meminit: & alium librū contra om̄es hæreſes, cuius facit mentionem in apologetico, quē dedit Antonino Pio. Hic quū in urbe Roma haberet

τὰς διατριβὰς, εὐθύνων κρίσκην τὸν κυνικὸν τὸν κατὰ τῶν χριστιανῶν βλασφημοῦντα, καὶ καλῶν αὐτὸν λαίμαργον, καὶ τὸν θάνατον φοβούμενον, ἄσωτόν τε καὶ ἀκόλαστον, τέλος τῇ τούτου ἐνεργείᾳ καὶ ἐπιβουλῇ, ὡς χριστιανὸς ὑπὲρ τοῦ χριστοῦ ἔπαθεν.

ΜΕΛΙΤΩΝ.

ΜΕΛΙΤΩΝ ἀσιανὸς, σάρδεων ἐπίσκοπος, βίβλον βασιλεῖ μάρκῳ ἀντωνίνῳ βήρῳ, ὃς φρόντωνος τοῦ ῥήτορος μαθητὴς ἐγεγόνει, ὑπὲρ τοῦ χριστιανῶν δόγματος ἐπέδωκεν. Εγραψε δὲ καὶ ἕτερα, ἀφ' ὧν τάδε ὑπετάξαμεν. Τοῦ πάσχα λόγους δύο, περὶ βίου προφητικοῦ λόγον ἕνα, περὶ ἐκκλησίας λόγον ἕνα, περὶ ἡμέρας κυριακῆς λόγον ἕνα, περὶ διανοίας λόγον ἕνα, περὶ τῶν πιστῶν λόγον ἕνα, περὶ πλάσεως ἕνα, περὶ ψυχῆς καὶ σώματος ἕνα, περὶ βαπτίσματος ἕνα, περὶ ἀληθείας ἕνα, περὶ γεννήσεως χριστοῦ ἕνα, περὶ προφητείας ἰδίας ἕνα, περὶ φιλοξενίας ἕνα, καὶ ἕτερον λόγον, ὃς ἐπιγράφεται κλείς, περὶ διαβόλου ἕνα, περὶ ἀποκαλύψεως ἰωάννου ἕνα, καὶ περὶ τοῦ ἐνσωμάτου θεοῦ λόγον ἕνα, ἐκλογῶν λόγους ἕξ. Τούτου τὴν εὐφυΐαν ἐπαινῶν τερτυλλιανὸς ἐν τοῖς ἑπτὰ λόγοις, οὓς ἔγραψε κατὰ τῆς ἐκκλησίας ὑπὲρ μοντανοῦ, λέγει, ὅτι πολλοὶ τῶν ἡμετέρων νομίζουσιν αὐτὸν εἶναι προφήτην.

ΘΕΟΦΙΛΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΘΕΟΦΙΛΟΣ, ἕκτος τῆς ἐν ἀντιοχείᾳ ἐκκλησίας ἐπίσκοπος, βασιλεύοντος μάρκου ἀντωνίνου βήρου, βίβλον κατὰ μαρκίωνος συνέταξεν, ἥτις ἄχρι τήμερον τυγχάνει. τούτου φέρεται καὶ πρὸς αὐτόλυκον τρία τεύχη, καὶ κατὰ τῆς αἱρέσεως ἑρμογένους λόγος εἷς, καὶ ἄλλαι βραχεῖαι βίβλοι, εἰς οἰκοδομὴν τῆς ἐκκλησίας ἀνήκουσαι. Ανέγνων ἐπ' ὀνόματι αὐτοῦ εἰς εὐαγγέλιον καὶ εἰς παροιμίας σολόμωνος ὑπομνήματα, ἅτινά μοι οὐ δοκοῦσι συμφωνεῖν τῇ εὐφυΐᾳ, καὶ τῇ φράσει τῶν προειρημένων συγγραμμάτων.

ΑΠΟΛΛΙΝΑΡΙΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΑΠΟΛΛΙΝΑΡΙΟΣ ἱεραπόλεως τῆς ἀσίας ἐπίσκοπος, βασιλεύοντος, μάρκου ἀντωνίνου βήρου ἤνθησεν, ᾧ τινι καὶ ἐπὶ

σημον

τὰς διατριβὰς, & Creſcentem Cynicum, qui multa aduerſum Chriſtianos blaſphemabat, redargueret, guloſum, & mortis timidum, luxuriæq; & libidinum ſectatorem, ad extremum ſtudio eius & inſidijs accuſatus quod chriſtianus eſſet, pro Chriſto ſanguinem fudit.

MELITO ASIANVS.

MELITO Aſianus, Sardenſis epiſcopus, librum Imperatori M. Antonino Vero, qui Frontonis oratoris diſcipulus fuit, pro Chriſtiano dogmate dedit. Scripſit quoq; & alia, de quibus iſta ſunt, quæ ſubiecimus. De paſcha libros duos. De uita prophetarum librum unum. De eccleſia librum unum. De die dominica librum unum. De ſenſibus librum unum. De fide librum unum. De plaſmate librum unum. De anima & corpore librum unum. De baptiſmate librum unum. De ueritate librum unum. De generatione Chriſti librum unum. De prophetia ſua librũ unum. De philoxenia librum unum, & alium librum qui Clauis inſcribitur. De diabolo librum unum. De apocalypſi Ioannis librũ unum, καὶ περὶ ἐνσωματώτου θεοῦ librũ unum. Et ἐκλογῶν libros ſex. Huius elegans & declamatoriũ ingenium, Tertullianus in ſeptem libris, quos ſcripſit aduerſus eccleſiam pro Montano, dicit, eum à pelriſq; noſtrorũ prophetarum putari.

THEOPHILVS.

THEOPHILVS ſextus Antiochenſis eccleſiæ epiſcopus, ſub Imperatore M. Antonino Vero, librum contra Marcionē compoſuit, qui uſq; hodie extat. Feruntur eius & ad Autolycum tria uolumina, & contra hæreſim Hermogenis liber unus, & alij breues elegantesq; tractatus ad ædificationem eccleſiæ pertinentes. Legi ſub nomine eius in euangelium & in prouerbia Solomonis commentarios, qui mihi cum ſuperiorum uoluminum elegantia & phraſi non uidentur congruere.

APOLLINARIVS.

APollinarius Aſiæ Hierapolitanus epiſcopus, ſub Imperatore M. Antonino ſecundo floruit, cui & in-

σημον τεῦχος ὑπὲρ τῆς τῶν χριστιανῶν πίστεως ἐπέδωκεν. Εἰσὶ καὶ ἕτεροι πέντε αὐτοῦ κατὰ τῶν ἐθνῶν λόγοι, καὶ περὶ ἀληθείας δύο, καὶ κατὰ τῶν φρυγῶν τότε πρῶτον ἀνακυψάντων, ἅμα πρισκίλλα καὶ μαξιμίλλα ἀνοσίοις προφήταις, ἀρξαμένου μοντανοῦ.

ΔΙΟΝΥΣΙΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΔΙΟΝΥΣΙΟΣ τῆς κατὰ κόρινθον ἐκκλησίας ἐπίσκοπος, τοσοῦτον εὐφραδὴς καὶ σπουδαῖος ἐγένετο, ὥς τε μὴ μόνον τοὺς λαοὺς τῆς ἰδίας πόλεως καὶ ἐπαρχίας, ἀλλὰ καὶ ἑτέρων ἐπαρχιῶν καὶ πόλεων, δι' οἰκείων ἐπιστολῶν πεπαιδευκέναι, ἀφ' ὧν ἐστὶ μία πρὸς λακεδαιμονίους, ἄλλη πρὸς ἀθηναίους, τρίτη πρὸς νικομηδεῖς, τετάρτη πρὸς κρῆτας, πέμπτη πρὸς ἀμαστριανὴν ἐκκλησίαν, καὶ ἑτέρας πόντου ἐκκλησίας, ἕκτη πρὸς κνωσσιανούς, καὶ πινυτὸν τῆς αὐτῆς πόλεως ἐπίσκοπον, ἑβδόμη πρὸς ῥωμαίους, ἣν ἔγραψε πρὸς σωτῆρα τὸν τούτων ἐπίσκοπον, ὀγδόη πρὸς χρυσοφόραν εὐλαβῆ γυναῖκα. Διέπρεψεν ἐπὶ μάρκου ἀντωνίνου βήρου, καὶ λουκίου αὐρηλίου κομόδου.

ΠΙΝΥΤΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΠΙΝΥΤΟΣ κρήτης κνωσσοῦ τῆς πόλεως ἐπίσκοπος, ἔγραψε πρὸς διονύσιον κορίνθου ἐπίσκοπον πάνυ κομψὴν ἐπιστολήν, ἐν ᾗ διδάσκει, οὐκ ἀεὶ δεῖν τοὺς λαοὺς γάλακτι τρέφεσθαι, μήπως ὡς νήπιοι τῇ ἐσχάτῃ καταληφθῶσιν ἡμέρᾳ, ἀλλὰ καὶ στερεῶν βρωμάτων, ἵνα εἰς πνευματικὸν προκόψωσι γῆρας. καὶ οὗτος ἐπὶ τῆς αὐτῆς ἤνθησεν.

ΤΑΤΙΑΝΟΣ.

ΤΑΤΙΑΝΟΣ, ὁ πρώην τὴν ῥητορικὴν διδάσκων, οὐκ ἐλαχίστην ἐκ τῆς ῥητορικῆς ἐπιστήμης δόξαν ὠνήσατο, ἰουστίνου τοῦ μάρτυρος σπουδαστὴς γέγονε, διαπρέπων ἐν τῇ ἐκκλησίᾳ, ἐν ὅσῳ τῆς τούτου πλευρᾶς οὐκ ἀπέστη, ὕστερον δὲ ὑπὸ ὄγκου τῆς παιδεύσεως ἐπαρθεὶς, καινὴν συνεστήσατο αἵρεσιν, λέγω δὴ τῶν ἐγκρατιτῶν, ἣν μετέπειτα σευῆρος ἐπηύξησεν, ἀφ' οὗ ἄχρι τοῦ παρόντος, οἱ τούτου τοῦ μέρους αἱρετικοὶ, σευηριανισταὶ ὀνομάζονται. Ὁ δὲ προειρημένος τατιανὸς πάμπολλα συνεγράψατο τεύχη. ἀφ' ὧν ἐστὶ κατὰ τῶν ἐθνῶν λόγος εἷς πάνυ θαυμαστός, ὃς μεταξὺ πάντων αὐτοῦ τῶν συγγραμμάτων ἐπίσιμός ἐστι.

ſigne uolumen pro fide Chriſtianorum dedit. Extant eius & alij quinque aduerſum gentes libri, & de ueritate duo, & aduerſum Cataphrygas tunc primum exortos cum Priſcilla & Maximilla inſanis uatibus, incipiente Montano.

DIONYSIVS EPISCOPVS.

DIONYSIVS, Corinthiorũ eccleſiæ epiſcopus, tantæ eloquentiæ & induſtriæ fuit, ut non ſolum ſuæ ciuitatis & prouinciæ populos, ſed & aliarum urbiũ & prouinciarum epiſcopos, epiſtolis erudiret. E quibus eſt una ad Lacedæmonios, alia ad Athenienſes, tertia ad Nicomedenſes, quarta ad Cretenſes, quinta ad eccleſiam Amaſtrianam, & ad reliquas Ponti eccleſias, ſexta ad Gnoſſianos, & ad Pinytum, eiuſdem urbis epiſcopum, ſeptima ad Romanos, quam ſcripſit ad Soterem epiſcopum eorum, octaua ad Chryſophoram, ſanctam fœminã. Claruit ſub Imperatore M. Antonino Vero, & L. Aurelio Cõmodo.

PINYTVS EPISCOPVS.

PINYTVS Cretenſis, Gnoſſiæ urbis epiſcopus, ſcripſit ad Dionyſiũ Corinthi epiſcopum, ualde elegantem epiſtolam, in qua docet non ſemper lacte populos nutriendos, ne quaſi paruuli ab ultimo occupentur die, ſed & ſolido ueſci debere cibo, ut in ſpiritualem proficiant ſenectutem. Et hic ſub M. Antonino Vero, & L. Aurelio Commodo floruit.

TATIANVS.

TATIANVS, qui primum oratoriam docens, non paruam ſibi ex arte rhetorica gloriam comparauerat. Iuſtini martyris ſectator fuit, florens in eccleſia, quandiu ab eius latere non diſceſſit. Poſtea uero inflatus eloquentiæ tumore, nouam condidit hæreſim, quæ ἐγκρατιτῶν dicitur, quam poſtea Seuerus auxit, à quo eiuſdem partis hæretici, Seueriani uſq; hodie appellant. Porrò Tatianus infinita ſcripſit uolumina, è quibus unus cõtra gentes florentiſſimus extat liber, qui inter oĩa opa eius fertur inſignis,

καὶ οὗτος βασιλεύοντος μάρκου ἀντωνίνου βήρου, καὶ αὐρηλίου κομόδου ἤνθησεν.

ΦΙΛΙΠΠΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΦΙΛΙΠΠΟΣ, ἐπίσκοπος κρήτης πόλεως γορτύνης, οὗ τινος διονύσιος ἐν τῇ ἐπιστολῇ αὐτοῦ μέμνηται, ἣν ἔγραψε πρὸς τὴν ἐκκλησίαν τῆς προειρημένης πόλεως, ἔνδοξον πάνυ κατὰ μαρκίωνος ἐξέδωκε βίβλον. ἐν τοῖς καιροῖς τῶν προειρημένων διέπρεψεν.

ΜΟΥΣΑΝΟΣ.

ΜΟΥΣΑΝΟΣ, οὐκ ἄδοξος μεταξὺ τῶν περὶ ἐκκλησιαστικοῦ δόγματος συγγραψαμένων, ἐπὶ μάρκου ἀντωνίνου βήρου κατεσκεύασε βίβλον πρός τινας ἀδελφούς, τῶν ἀπὸ τῆς ἐκκλησίας, πρὸς τὴν τῶν ἐγκρατιτῶν αἵρεσιν κατανεύσαντας.

ΜΟΔΕΣΤΟΣ.

ΜΟΔΕΣΤΟΣ, καὶ αὐτὸς ἐπὶ ἀντωνίνου καὶ κομόδου κατὰ μαρκίωνος συνέταξε βίβλον, ἥτις ἄχρι σήμερον ὑπάρχει. φέρεται καὶ ἄλλα αὐτοῦ συγγράμματα, ἅτινα παρὰ τῶν πεπαιδευμένων, ὡς ψευδεπίγραφα ἀποδοκιμάζεται.

ΒΑΡΔΗΣΑΝΗΣ.

ΒΑΡΔΗΣΑΝΗΣ ἐν μεσοποταμίᾳ λαμπρὸς φανεὶς, πρῶτον μὲν βαλεντίνου σπουδαστὴς, ὕστερον δὲ ἀντίπαλος, καινὴν αἵρεσιν συνεστήσατο. τούτου παρὰ τῶν σύρων θερμοτάτη κηρύττεται εὐφυΐα, καὶ ἐν διαλέξει σφοδροτάτη. Ἔγραψε πάμπολλα κατὰ πασῶν σχεδὸν τῶν αἱρέσεων, τῶν ἐπὶ τῶν χρόνων αὐτοῦ ἀνακυψασῶν, ἐν οἷς περιφανὴς ἐστὶν καὶ γενναῖος ἐκεῖνος ὁ λόγος, ὃν μάρκῳ ἀντωνίνῳ περὶ μοίρας ἐπέδωκε, ἀλλὰ καὶ ἄλλα πολλὰ περὶ διωγμοῦ τεύχη, ἅπερ οἱ τούτου σπουδασταὶ ἀπὸ τῆς σύρας εἰς ἑλληνικὴν διάλεξιν μετέφρασαν. ὅπου δὲ τοσαύτη ἰσχὺς ἐστὶ καὶ λαμπρότης ἐν τῇ ἑρμηνείᾳ, πόσην νομίζομεν ἐν τῷ οἰκείῳ λόγῳ ἔχειν ἀρετήν;

ΒΙΚΤΩΡ ΕΠΙΣΚΟΠΟΣ.

ΒΙΚΤΩΡ, τρισκαιδέκατος ῥώμης ἐπίσκοπος, περὶ τῆς τοῦ πάσχα ζητήσεως, καὶ ἄλλα τινὰ συνέταξε τεύχη, ἐκυβέρνησε τὴν ἐκκλησίαν βασιλεύοντος σεβήρου ἐπὶ ἔτη δέκα.

ΕΙΡΗΝΑΙΟΣ

Et hic ſub imperatore M. Antonino Vero,& L. Aurelio Commodo floruit.

PHILIPPVS EPISCOPVS.

PHILIPPVS, Epiſcopus Cretenſis, hoc eſt urbis Gortinæ, cuius Dionyſius in epiſtola ſua meminit, quam ſcripſit ad eiuſdem ciuitatis eccleſiam, præclarum aduerſum Marcionem ædidit librum, temporibusq; M. Antonini Veri, & L. Aurelij Commodi claruit.

MVSANVS.

MVSANVS, non ignobilis inter eos, qui de eccleſiaſtico dogmate ſcripſerunt, ſub Imperatore M. Antonino Vero, confecit librum aduerſus quoſdam fratres, qui de eccleſia ad Encratitarum hæreſim declinauerant.

MODESTVS.

MODESTVS & ipſe ſub Imperatore M. Antonino, & L. Aurelio Commodo, aduerſum Marcionem ſcripſit librum, qui uſq; hodie perſeuerat. Ferunt ſub nomine eius & alia συγγράμματα, ſed ab eruditis quaſi ψευδεπίγραφα repudiantnr.

BARDESANES.

BARDESANES in Meſopotamia clarus habitus eſt, qui primum Valentini ſectator, deinde confutator, nouam hæreſim condidit. Ardens eius à Syrijs prædicatur ingenium, & in diſputatione uehemens. Scripſit infinita aduerſum omnes penè hæreticos, qui ætate eius pullulauerant. In quibus clariſſimus ille eſt & fortiſſimus liber, quem M. Antonino de fato tradidit, & multa alia ſuper perſecutione uolumina, quæ ſectatores eius de Syria lingua, uerterunt in Græcam. Si autē tanta uis eſt & fulgor in interpretatione, quantā putamus in ſermone proprio?

VICTOR.

VICTOR, tertiuſdecimus Romanæ urbis epiſcopus ſuper quæſtione paſchæ, & alia quædā ſcribens opuſcula, rexit eccleſiam ſub Seuero principe annis decem.

ΕΙΡΗΝΑΙΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΕΙΡΗΝΑΙΟΣ, ποθεινοῦ τοῦ ἐπισκόπου λουγδούνων, τῆς ἐν γαλλίαις ἐκκλησίας πρεσβύτερος, παρὰ τῶν μαρτύρων τῆς εἰρημένης πόλεως, διά τινας ἐκκλησιαστικὰς αἰτίας, πρεσβευτὴς εἰς ῥώμην σταλείς, ἐπ᾽ ὀνόματι οἰκείῳ δεξάμενος ἐπιστολὰς γεμούσας τιμῆς, πρὸς ἐλεύθερον ἐπίσκοπον ῥώμης ἀπηνέγκατο. μετὰ δὲ ταῦτα ποθεινοῦ, σχεδὸν ἐνενηκονταετοῦς μαρτυρήσαντος, εἰς τὸν τούτου τόπον ὑπεισέρχεται. ὡμολόγηται δέ, πολυκάρπου, οὗ τινος προεμνήσθημεν, γεγενῆσθαι μαθητής. ἔγραψε πέντε κατὰ τῶν αἱρετικῶν βίβλους. καὶ κατὰ τῶν ἐθνῶν τεῦχος βραχύ, καὶ περὶ ἐπιστήμης ἕτερον. καὶ πρὸς μαρκιανὸν ἀδελφὸν περὶ τοῦ ἀποστολικοῦ κηρύγματος. καὶ βίβλον ποικίλων ὁμιλιῶν. καὶ πρὸς βλάστον περὶ σχίσματος, καὶ πρὸς φλωρῖνον περὶ μοναρχίας, καὶ ὅτι ὁ θεὸς κτίστης κακῶν οὐκ ἔστι. καὶ περὶ ὀγδοάστων διαίρετον σύνταγμα, ἐν τῷ τέλει δὲ τοῦ αὐτοῦ συντάγματος, ὑπέγραψεν οὕτως. Ὁρκῶ σε τὸν μεταγράφοντα ταύτην τὴν βίβλον, κατὰ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, καὶ κατὰ τῆς ἐνδόξου ἐλεύσεως αὐτοῦ, ἐν ᾗ κρινεῖ ζῶντας καὶ νεκρούς, ἵνα ἀντιβάλῃς μετὰ τὸ γράψαι, καὶ ἐκδιορθώσῃ πρὸς τὰ ἀντίγραφα, ἀφ᾽ ὧν ἔγραψας ἐπιμελῶς. καὶ ταύτην τὴν κατάκρισιν ὁμοίως μεταγράψῃς, καθὼς εὗρες ἐν τοῖς ἀντιγράφοις. φέρονται αὐτοῦ καὶ ἄλλαι πρὸς βίκτωρα ἐπίσκοπον ῥώμης περὶ ζητήσεως τοῦ πάσχα ἐπιστολαί, ἐν αἷς παραινεῖ αὐτῷ, μὴ ῥαδίως ὀφείλειν τὴν ἕνωσιν τῆς ἑταιρότητος διασχίσαι. καὶ γὰρ βίκτωρ πολλοὺς τῆς ἀσίας καὶ τῆς ἀνατολῆς ἐπισκόπους καθεῖλεν, οἵτινες τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, μετὰ τῶν ἰουδαίων τὸ πάσχα ἐπετέλεσαν. ταύτῃ δὲ τῇ γνώμῃ τοὺς διαφωνήσαντας μὴ συναινέσαι βίκτωρι. ἤνθησεν μάλιστα ἐπὶ κομόδου βασιλέως, ὅστις εἰς τόπον ἀντωνίνου βήρου ὑπεισῆλθεν.

ΠΑΝΤΑΙΝΟΣ.

Π Ανταινος στωικοῦ δόγματος φιλόσοφος, κατά τινα παλαιὰν τῶν ἀλεξανδρέων συνήθειαν, ἐν ᾗ ἀπὸ μάρκου τοῦ εὐαγγελιστοῦ ἐκκλησιαστικοὶ γεγόνασι, διδάσκαλος, τοσαύτης σοφίας καὶ παιδεύσεως, τοῦτο μὲν ἐν ταῖς θείαις γραφαῖς, τοῦτο δὲ καὶ ἐν τοῖς κοσμικοῖς γράμμασιν

ὄντος

IRENAEVS.

IRENAEVS, Pothini epiſcopi qui Lugdunenſem in Gallia regebat eccleſiam, presbyter, à martyribus eiuſdem loci ob quaſdam eccleſiæ quæſtiones, legatus Romã miſſus, honorificas ſuper nomine ſuo, ad Eleutheriũ epiſcopum perfert literas. Poſtea iam Pothino propè nonagenario, ob Chriſtum martyrio coronato, in locum eius ſubſtituitur. Conſtat autem Polycarpi, cuius ſupra fecimus mentionem, ſacerdotis & martyris hunc fuiſſe diſcipulum. Scripſit quinque aduerſus hæreſes libros, & contra gentes uolumẽ breue, & de diſciplina aliud, & ad Martianum fratrem de apoſtolica prædicatione, & librum uariorum tractatuum, & ad Blaſtum de ſchiſmate, & ad Florinum de monarchia, ſiue quod deus non ſit conditor malorum, & περὶ τῶν ὀγδοάδων egregium commentarium, in cuius fine ſignificans ſe apoſtolicorum temporum uicinũ fuiſſe, ſic ſubſcripſit: Adiuro te, qui tranſſcribis librum iſtum, per dominum Ieſum Chriſtum, & per glorioſum eius aduentum, quo iudicaturus eſt uiuos & mortuos, ut conferas poſtquã tranſſcripſeris: & emendes illum ad exemplar, unde ſcripſiſti diligentiſſimè, hanc quoque obteſtationem ſimiliter transferas, ut inueniſti in exemplari. Feruntur eius & aliæ ad Victorem epiſcopum Romanũ, de quæſtione paſchæ epiſtolæ, in quibus commonet eum, non facile debere unitatem collegij ſcindere. Siquidem Victor multos Aſiæ & Orientis epiſcopos, qui decimaquarta luna cũ Iudæis paſcha celebrabãt, damnandos crediderat. In qua ſententia hi qui diſcrepabant ab illis, Victori non dederunt manus. Floruit maxime ſub Commodo principe, qui M. Antonino Vero in imperium ſucceſſerat.

PANTAENVS.

PAntænus Stoicæ ſectæ philoſophus, iuxta quandam ueterẽ in Alexãdria cõſuetudinẽ, ubi à Marco euãgeliſta ſemp eccleſiaſtici fuere doctores, tantæ prudentiæ & eruditiõis, tam in ſcripturis diuinis, quàm in ſeculari literatura

ἐντὸς γέγονεν, ὥς τι περὶ κληθέντα αὐτὸν παρὰ τῶν ἰνδίας πρεσβυτέρων, ὑπὸ δημητρίου ἀλεξανδρείας ἐπισκόπου, εἰς τὴν ἰνδίαν ἀποσταλῆναι, ἐν ᾗ εὗρε βαρθολομαῖον ἐκ τῶν δώδεκα ἀποστόλων, τὴν ἔλευσιν τοῦ κυρίου ΙΗΣΟΥ κατὰ τὸ ματθαίου εὐαγγέλιον κηρύξοντα, ὅπερ ἑβραϊκοῖς γράμμασι γεγραμμένον, εἰς τὴν ἀλεξάνδρειαν ἀναζεύξας, μεθ' αὑτοῦ ἐκόμισε, τούτου πολλὰ ὑπομνήματα εἰς τὰς θείας γραφὰς τυγχάνει, ἀλλὰ μᾶλλον ζώσῃ φωνῇ τὰς ἐκκλησίας ὠφέλησεν, ἐδίδαξε ἐπὶ σευήρου καὶ ἀντωνίνου τοῦ ἐπίκλην καρακάλου.

ΡΟΔΩΝ.

ΡΟΔΩΝ ἀσιανός, παρὰ τατιανῷ τῷ ἀναφερομένῳ, ἐν ταῖς θείαις γραφαῖς παιδευθείς, ἐξέδωκε μὲν πάμπολλα, ἐξαίρετον δὲ κατὰ μαρκίωνος σύνταγμα, ἐν ᾧ ἐξηγεῖται, ὅπως καὶ αὐτοὶ εἰς ἑαυτοὺς μαρκιωνισταὶ διαφωνοῦσι, καὶ τὸν ἀπελλῆν τὸν γέροντα ὁμοίως αἱρετικὸν, συντετυχηκέναι αὐτοῖς, καὶ καταγέλαστον γεγενῆσθαι, εἰρηκότα ὅτι τὸν θεὸν ὃν σέβει, ἀγνοεῖ. Μέμνηται ἐν τῇ αὐτῇ βίβλῳ, ἣν ἔγραψε πρὸς καλλιστίωνα, τατιανοῦ γεγενῆσθαι ἐν τῇ ῥώμῃ ἀκροατής, καὶ εἰς τὴν ἑξαήμερον δὲ κομψὰς ὁμιλίας συνέταξε, καὶ κατὰ τῶν φρυγῶν ἐπίσημον ἔργον, ἀνθήσας ἐπὶ τῶν χρόνων κομόδου καὶ σευήρου.

ΚΛΗΜΗΣ.

ΚΛΗΜΗΣ ἀλεξανδρείας πρεσβύτερος, παντααίνου περὶ οὗ προείπομεν, ἀκροατής, ὃς μετὰ τὴν τούτου τελευτὴν, τὰς διατριβὰς τῆς ἐν ἀλεξανδρείᾳ ἐκκλησίας κατέσχε, καὶ κατηχήσεων διδάσκαλος γέγονεν. ἐπίσημά τε τεύχη παιδεύσεως, καὶ εὐγλωττίας ἀνάμεστα συνέταξε, τοῦτο μὲν τῶν θείων, τοῦτο δὲ καὶ κοσμικῶν, ἀφ' ὧν ἐστὶ τάδε, στρωματεῖς ὀκτώ, ὑποτυπώσεων λογοι ὀκτώ, κατὰ τῶν ἐθνῶν παιδαγωγοὶ τρεῖς, περὶ τοῦ πάσχα εἷς, περὶ νηστείας διάλεξις. καὶ ἕτερος ἐπιγράφον, τίς ἄρα πλούσιος σωθήσεται. περὶ κακολογίας, λόγος εἷς. περὶ κανόνων ἐκκλησιαστικῶν, καὶ κατὰ τῶν ἀκολουθούντων τῇ τῶν ἰουδαίων πλάνῃ λόγον, ὃν τινα ἰδικῶς ἀλεξάνδρῳ ἐπισκόπῳ ἱεροσολύμων προσεφώνησε. Μέμνηται δὲ ἐν τοῖς ἰδίοις στρώμασιν τοῦ τεύχους τατιανοῦ τοῦ προειρημένου κατὰ τῶν ἐθνῶν, καὶ κασσιανοῦ τινὸς χρονογραφίας,

fuit, ut in Indiam quoque rogatus ab illius gentis legatis, à Demetrio Alexandriæ epiſcopo mitteretur, ubi reperit Bartholomæum de duodecim apoſtolis, aduentum domini IESV, iuxta Matthæi euangelium prædicaſſe, quod Hebraicis literis ſcriptum, reuertens Alexandriam, ſecum retulit. Huius multi quidem in ſanctam ſcripturam extant commētarij, ſed magis uiua uoce, eccleſijs profuit. Docuitq; ſub Seuero principe, & Antonino cognomento Caracalla.

RHODON.

RHODON genere Aſianus, à Tatiano de quo ſupra diximus, Romæ in ſcripturis eruditus, ædidit plurima, præcipuum'que aduerſus Marcionem opus, in quo refert, quomodo ipſi quoq; inter ſe Marcionitæ diſcrepent, & Apellem ſenem alium hæreticum à ſe quondam fuiſſe conuentum, & riſui habitum, eo quod deum coleret, ignorare ſe diceret. Meminit in eodē libro, quem ſcripſit ad Calliſtionem Tatiani ſe Romæ fuiſſe auditorē. Sed & in Hexaemeron elegātes tractatus cōpoſuit, & aduerſum Phrygas inſigne opus. Temporibus'que Commodi & Seueri floruit.

CLEMENS.

CLEMENS Alexandriæ eccleſiæ presbyter, Pantæni, de quo ſupra retulimus, auditor, poſt eius mortē, Alexandriæ eccleſiaſticā ſcholā tenuit, & κατηχήσεων magiſter fuit. Feruntur eius inſignia uolumina, plenaq; eruditionis & eloquētiæ, tam de ſcripturis diuinis, quàm de ſecularis literaturæ inſtrumento. E quibus illa ſunt στρωματεῖς libri octo, ὑποτυπώσεων libri octo, aduerſus gentes liber unus, Pædagogi libri tres, De paſcha liber unus, De ieiunio diſceptatio. Et alius qui inſcribitur, Quiſnam diues ille ſit, qui ſaluetur. De obtrectatione liber unus. De canonibus eccleſiaſticis, & āduerſum eos qui Iudæorum ſequuntur errorem, liber unus, quem proprie Alexandro Hieroſolymorum epiſcopo προσεφώνησεν. Meminit autem in ſtromatibus ſuis, uoluminis Tatiani, aduerſus gentes, de quo ſupra diximus, & Caſſiani cuiuſdam χρονογρα-

φίας, ὅπερ ἐν τοῖς παλαιοῖς εὑρεῖν οὐκ ἠδυνήθημεν. οὐδὲν δὲ ἧττον καὶ Ἰουδαίους Ἀριστόβουλόν τινα, καὶ Δημήτριον, καὶ Εὐπόλεμον ἀναφέρει, οἳ κατὰ τῶν ἐθνῶν συγγραψάμενοι καθ' ὁμοιότητα Ἰωσήπου, ἀρχαιογονίας Μωϋσέως, καὶ τοῦ Ἰουδαϊκοῦ ἔθνους. Ἔστι καὶ Ἀλεξάνδρου Ἱεροσολύμων ἐπισκόπου, ὃς μετὰ Νάρκισσον ὕστερον προέστη τῆς ἐκκλησίας, ἐπιστολὴ περὶ χειροτονίας Ἀσκληπιάδου ὁμολογητοῦ, πρὸς Ἀντιοχέας, συγχαίροντος αὐτοῖς, ἐν ᾗ εἰς τὸ τέλος, οὕτως λέγει. ταῦτα ὑμῖν κύριοι ἀδελφοί τε τὰ γράμματα πέπομφα, διὰ τοῦ εὐλαβεστάτου Κλήμεντος ἀνδρὸς περιφανοῦς, καὶ δεδοκιμασμένου, ὃν καὶ ὑμεῖς ἴστε, καὶ νῦν πλέον ἐπιγνώσεσθε, ὅς τις ἐνταῦθα ἐλθὼν κατὰ πρόνοιαν καὶ ἐπιφοίτησιν θεοῦ, ἐστερέωσε καὶ ηὔξησε τοῦ κυρίου τὴν ἐκκλησίαν. ὡμολόγηται τὸν πρεσβύτην, τούτου γεγενῆσθαι μαθητήν. ἤνθησε δὲ βασιλευόντων Σεβήρου καὶ Ἀντωνίνου τοῦ υἱοῦ αὐτοῦ.

ΜΙΛΤΙΑΔΗΣ.

ΜΙΛΤΙΑΔΗΣ, οὗ τινος ῥόδων ἐν τῷ ἰδίῳ συγγράμματι τῷ κατὰ Μοντανοῦ καὶ Πρισκίλλας καὶ Μαξιμίλλας συντεθέντι, μέμνηται. ἔγραψε κατ' αὐτῶν τεῦχος ἐξαίρετον. καὶ κατὰ τῶν ἐθνῶν τε καὶ Ἰουδαίων λόγους ἄλλους· ἐπέδωκε δὲ τῷ τηνικαῦτα βασιλεῖ ἀπολογητικόν. ἀνθήσας ἐν τοῖς χρόνοις Μάρκου Ἀντωνίνου Κομόδου.

ΑΠΟΛΛΩΝΙΟΣ.

ΑΠΟΛΛΩΝΙΟΣ ἀνὴρ ἐλλογιμώτατος. ἔγραψε κατὰ Μοντανοῦ Πρισκίλλας καὶ Μαξιμίλλας, μέγα καὶ ἐπίσημον τεῦχος, ἐν ᾧ φησὶ Μοντανὸν καὶ τὰς μαινομένας προφήτιδας ἀπάγξασθαι, καὶ ἕτερα πολλὰ ἐν οἷς περὶ Πρισκίλλας καὶ Μαξιμίλλας λέγει. Εἰ ἀρνοῦνται αὐτὰς εἰληφέναι δῶρα, ὁμολογήσουσι μὴ εἶναι προφήτας, τοὺς δεχομένους δῶρα, καὶ διὰ χιλίων τοῦτο ἐλέγχω μαρτύρων. ἀλλὰ καὶ δι' ἑτέρων ἔργων, προφῆται δοκιμάζονται. εἰπέ μοι, κόμην βάπτει προφήτης; στιβίῳ τοὺς ὀφθαλμοὺς χρίει; προφήτης ἐσθήμασι καὶ μαργαρίταις κοσμεῖται; προφήτης τάβλᾳ καὶ βολίοις παίζει; τόκους λαμβάνει προφήτης; ἀποκριθῶσιν εἰ τοῦτο γενέσθαι ἐξὸν ἢ καὶ μή, καὶ ἐμὸν ἔσται ἐλέγξαι ὅτι περ πεποιήκασι.

Λέγει

φίας,quod opuſculum inuenire non potui. Necnon & de Iudæis Ariſtobulum quendam, & Demetrium & Eupolemum ſcriptores aduerſus gentes refert, qui in ſimilitudinem Ioſephi ἀρχαιογονίας Moyſi & Iudaicæ gentis aſſeuerant. Extat Alexandri Hieroſolymitarum epiſcopi, qui cum Narciſſo poſtea rexit eccleſiam, epiſtola ſuper ordinatione Aſclepiadis confeſſoris ad Antiochenſes,congratulantis eis,in qua ponit in fine: Hæc uobis domini ac fratres ſcripta trãſmiſi, per Clementem beatum presbyterum, uirum illuſtrem,& probatum,quem uos quoque ſcitis, & nunc plenius recognoſcetis,qui quum huc ueniſſet iuxta prouidentiã & uiſitationem dei, confirmauit & auxit domini eccleſiam. Conſtat Origenem huius fuiſſe diſcipulum. Floruit autem Seueri & Antonini filij eius temporibus.

MILTIADES.

MILTIADES, cuius Rhodon in ope ſuo quod aduerſum Montanum,Priſcillã,Maximillamq́ compoſuit,recordatur,ſcripſit contra eoſdem uolumen præcipuum. Et aduerſus gentes Iudæosq́, libros alios,& principibus illius temporis apologeticum dedit. Floruit autẽ M. Antonini Commodi temporibus.

APOLLONIVS.

APOLLONIVS uir diſertiſſimus, ſcripſit aduerſus Montanum,Priſcillam, & Maximillam inſigne & longum uolumen, in quo aſſerit Montanũ,& inſanas uates,periſſe ſuſpendio, & multa alia,in quibus de Priſcilla & Maximilla refert: Si negant eas accepiſſe munera,confiteantur non eſſe prophetas qui accipiunt, & mille hoc teſtibus approbabo. Sed & ex alijs fructibus probantur prophetæ. Dic mihi, crinem fucat prophetes? Stybio oculos linit? Prophetæ ueſtibus et gemmis ornantꝰ? Prophetes tabula ludit & teſſeris? Propheta fœnus accipit? Reſpondeant, utrum hoc fieri liceat, an non? Meum eſt approbare, quod fecerint.

λέγει ἐν αὐτῇ τῇ βίβλῳ, τεσσαρακοστὸν εἶναι ἐνιαυτὸν ἕως τοῦ καιροῦ, ἐν ᾧ καὶ αὐτὸς συγγράφεται, ἀφ' οὗ τὴν ἀρχὴν ἐδέξατο ἡ αἵρεσις ἡ κατὰ φρύγας. τερτυλλιανὸς δὲ ἐκδεδωκὼς λόγους ἕξ, κατὰ τῆς ἐκκλησίας περὶ ἐκστάσεως τὸν ἕβδομον ἰδικῶς κατὰ ἀπολλωνίου συνέταξεν, ἐν ᾧ πάντα ἅπερ ἐκεῖνος εὐθύνειν ἐπιχειρεῖ ἐκδικεῖ. ἤνθησε δὲ ἀπολλώνιος ἐπὶ κομόδου καὶ σευήρου.

ΣΑΡΑΠΙΩΝ.

ΣΑΡΑΠΙΩΝ περὶ δεκάτῳ ἐνιαυτῷ κομόδου τοῦ βασιλέως χειροτονηθεὶς τῆς ἀντιοχέων ἐκκλησίας ἐπίσκοπος, ἔγραψεν ἐπιστολὴν πρὸς καρῖνον καὶ πόντιον, περὶ τῆς αἱρέσεως μοντανοῦ, ταῦτα προσθείς. ἵνα δὲ γνῶτε τὴν βλάστην τοῦ δόγματος τούτου, τῆς καινῆς λέγω προφητείας, καὶ τὴν ἐν ὅλῳ τῷ κόσμῳ μανίαν ἀποδοκιμαστέαν ὑπάρχειν, ἔπεμψα ὑμῖν ἀπολλιναρίου τοῦ μακαριωτάτου, ὃς γέγονεν ἱεραπολίτης ἀσίας ἐπίσκοπος γράμματα. καὶ πρὸς δόμνον δὲ τὸν περὶ καιρῷ τοῦ διωγμοῦ πρὸς τοὺς ἰουδαίους κατανεύσαντα συνέταξε τεῦχος. καὶ ἄλλο περὶ τοῦ εὐαγγελίου, ὅπερ ἐπ' ὀνόματι πέτρου φέρεται, καὶ πρὸς τὴν ἐν ῥόσῳ τῆς κιλίκων ἐκκλησίαν βίβλον, ἥτις εἰς τὴν αἵρεσιν αὐτοῦ διεστράφη, καί τινας εἰς ἀνάγνωσιν τῆς τούτου αἱρέσεως μετήνεγκεν. ἀναγινώσκονται δὲ καὶ σποράδην βραχύταται αὐτοῦ ἐπιστολαί τῇ ἀσκήσει καὶ τῷ βίῳ αὐτοῦ συνᾴδουσαι.

ΑΠΟΛΛΩΝΙΟΣ.

ΑΠΟΛΛΩΝΙΟΣ ῥώμης συγκλητικὸς ἐπὶ κομόδου τοῦ βασιλέως παρὰ τοῦ δούλου παρὰ σευήρῳ προδοθεὶς χριστιανὸς εἶναι, ἐπιταγείς τε τῆς οἰκείας πίστεως δοῦναι λόγον, μέγα τεῦχος συνέταξεν, ὅπερ ἐν τῇ συγκλήτῳ ἀνέγνω, καὶ οὕτως οὐδὲν ἧττον ἀποφάσει τῆς συγκλήτου, ὑπὲρ τοῦ χριστοῦ ἀπετμήθη, παλαιᾶς παρ' αὐτοῖς κατεχούσης συνηθείας, δίχα ἀρνήσεως μὴ ἀφεθῆναι τοὺς χριστιανούς, τοὺς ἅπαξ εἰς τὴν αὐτῶν ἀκρόασιν ἑλκυσθέντας.

ΘΕΟΦΙΛΟΣ ΕΠΙΣ.

ΘΕΟΦΙΛΟΣ καισαρείας παλαιστίνης, ἥτις πρώην πύργος στράτωνος ἐκαλεῖτο, ἐπίσκοπος, ἐπὶ σευήρου τοῦ βασιλέως, κατὰ τῶν ἐπιτελούντων τὸ πάσχα μετὰ τῶν ἰουδαίων τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, συνοδικὴν ἐπιστολὴν πάνυ θαυμαστὴν μετὰ ἑτέρων συνέταξεν.

Dicit in eodem libro, quadrageſimum eſſe annum uſq; ad tempus, quo ipſe ſcribebat librum, ex quo hæreſes Cataphrygarum habuerit exordium. Tertullianus ſex uoluminibus aduerſus eccleſiã æditis, quos ſcripſit περὶ ἐκστάσεως, ſeptimum propriè aduerſus Apolloniũ elaborauit, in quo omnia quæ ille arguit, conatur defendere. Floruit autem Appollonius ſub Commodo, Seueroq; principibus.

SARAPION.

SARAPION undecimo Commodi Imperatoris anno, Antiochiæ epiſcopus ordinatus, ſcripſit epiſtolã ad Carinum & Pontiũ, de hæreſi Montani, in qua & hæc addit: Vt autem ſciatis, falſi huius dogmatis, id eſt nouæ prophetiæ, ab omni mundo inſaniam reprobari, miſi uobis Apollinaris beatiſſimi, qui fuit in Hierapoli Aſiæ epiſcopus, literas. Ad Domnum quoque, qui perſecutionis tempore ad Iudæos declinauerat, uolumen compoſuit, & alium de euangelio, quod ſub nomine Petri fertur: Librũ ad Rhoſenſem Ciliciæ eccleſiam, quæ in hæreſim eius lectione diuerterat. Leguntur & ſparſim eius breues epiſtolæ autoris ſui ἀσκήσει & uitæ congruentes.

APOLLONIVS.

APOLLONIVS Romanæ urbis Senator, ſub Commodo principe, à ſeruo Seuero ꝓditus, quod Chriſtianus eſſet, imperato ut rationem fidei ſuæ redderet, inſigne uolumen compoſuit, quod in Senatu legit, & nihilominus ſententia Senatus, pro Chriſto capite truncatus eſt, ueteri apud eos obtinente lege, abſque negatione non dimitti Chriſtianos, qui ſemel ad eorum iudicium pertracti eſſent.

THEOPHILVS.

THEOPHILVS Cæſareæ Palæſtinæ (quæ olim turris Stratonis uocabatur) epiſcopus, ſub Seuero principe aduerſum eos, qui decimaquarta luna cum Iudæis paſcha faciebant, cum cæteris epiſcopis ſynodicam ualde utilem compoſuit epiſtolam.

ΒΑΚΧΥΛΟΣ

Βακχύλος κορίνθου ἐπίσκοπος, ὁμοίως στεβήρου βασιλεύοντος λαμπρὸς ὑπάρχων, περὶ τοῦ πάσχα ἐκ προσώπου πάντων τῶν ἐν ἀχαΐᾳ ἐπισκόπων, θαυμαστὴν συνέταξε βίβλον.

ΠΟΛΥΚΡΑΤΗΣ ΕΠΙΣΚΟΠΟΣ.

Πολυκράτης, ἐφέσου ἐπίσκοπος, μετὰ τῶν λοιπῶν ἀσίας ἐπισκόπων, τῶν ἐπιτελούντων τὴν ἑορτὴν τοῦ πάσχα μετὰ τῶν ἰουδαίων τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, κατὰ βίκτορος ἐπισκόπου ῥώμης ἐπιστολὴν συνοδικὴν ἐξέδωκε, διδάσκων ὀφείλειν ἰωάννου τοῦ ἀποστόλου, καὶ τῇ παλαιᾷ ἐξακολουθεῖν αὐθεντίᾳ, ἀφ᾽ ἧς ὀλίγα διηγήσομαι. ἡμεῖς τοίνυν, ἀμίαντον ἐπιτελοῦμεν τὴν ἑορτήν, μηδὲ προστιθέντες, μηδὲ ὑπεξαιροῦντες. καὶ γὰρ ἐν τῇ ἀσίᾳ μεγάλα στοιχεῖα ἐκοιμήθη, ἅπερ ἀναστήσεται ἐν τῇ ἡμέρᾳ τοῦ κυρίου, ὅταν ἔλθῃ ἐκ τῶν οὐρανῶν ἐν τῇ οἰκείᾳ δόξῃ, ἐγείρων πάντας τοὺς ἁγίους. Φίλιππον λέγω ἐκ τῶν δώδεκα ἀποστόλων, ὃς ἐκοιμήθη ἐν ἱεραπόλει, καὶ τὰς δύο θυγατέρας αἵτινες παρθένοι ἐγήρασαν, καὶ ἑτέραν αὐτοῦ θυγατέρα, ἥτις ἐν ἁγίῳ πνεύματι πεπληρωμένη, ἐν ἐφέσῳ ἐπελεώθη. καὶ ἰωάννης, ὃς ἐπὶ τὸ στῆθος τοῦ κυρίου ἀνεκλίθη, καὶ ἱερεὺς αὐτοῦ γέγονε χρυσοῦν πέταλον ἐν τῷ μετώπῳ βαστάζων, μάρτυς καὶ διδάσκαλος ἐν τῇ ἐφέσῳ ἐκοιμήθη, καὶ πολύκαρπος ἐπίσκοπος καὶ μάρτυς ἐν τῇ σμύρνῃ κατάκειται. καὶ θρασέας ἐπίσκοπος καὶ μάρτυς ἀπὸ εὐμενείας ἐν τῇ αὐτῇ σμύρνῃ ἀνεπαύη. οὐκ ἔστιν ἀνάγκη σαγάρεως ἐπισκόπου καὶ μάρτυρος μεμνῆσθαι, τοῦ ἐν λαοδικείᾳ ἀναπαυσαμένου, καὶ παπυρίου τοῦ μακαριωτάτου, καὶ μελίτωνος ἐν τῷ ἁγίῳ πνεύματι εὐνούχου, ὅστις ἀεὶ τῷ κυρίῳ λατρεύων, ἐν σάρδεσι κατετέθη, καὶ περιμένει ἐν τῇ αὐτοῦ ἐλεύσει τὴν ἀνάστασιν. οὗτοι πάντες παρεφύλαξαν τὴν ἡμέραν τοῦ πάσχα, τῇ τεσσαρεσκαιδεκάτῃ τῆς σελήνης, ἀπὸ τῆς εὐαγγελικῆς παραδόσεως, εἰς οὐδὲν μέρος ἀπονεύοντες, καὶ ἐκκλησιαστικῷ κανόνι ἑπόμενοι. κἀγὼ δὲ ἐλάχιστος πάντων ὑμῶν πολυκράτης, κατὰ τὴν διδαχὴν τῶν πλησίον μου, οἷς καὶ ἐξηκολούθησα, καὶ γὰρ ἑπτὰ ἐγένοντο συγγενεῖς μου ἐπίσκοποι, κἀγὼ ὄγδοος, ἀεὶ τὸ πάσχα ἐτέλεσα,

λεσα,

BACCHYLVS.

BACCHYLVS Corinthi epiſcopus, ſub eodem quoq; Seuero principe clarus habitus, de paſcha ex omniũ qui in Achaia erant epiſcoporum perſona, plenum eruditione librum conſcripſit.

POLYCRATES.

POLYCRATES Epheſiorum epiſcopus, cum cæteris epiſcopis Aſiæ, qui iuxta quandam ueterem conſuetudinẽ cum Iudæis decimaquarta luna paſcha celebrabant, Scripſit aduerſus Victorem epiſcopum Romanum epiſtolam ſynodicam, in qua docet ſe apoſtoli Ioannis & ueterum autoritatem ſequi, de qua hæc pauca excerpſimus. Nos igitur inuiolabilem celebramus diem, neque addentes aliquid, neq; dementes aliquid. Etenim in Aſia elementa maxima dormierunt, quæ reſurgent in die domini, quando uenturus eſt de cœlis, in maieſtate ſua, & ſuſcitaturus omnes ſanctos. Philippum loquor de duodecim apoſtolis, qui dormiuit Hierapoli, & duas filias eius, quæ uirgines ſenuerunt, & aliam eius filiam quæ ſpiritu ſancto plena, in Epheſo occubuit, Sed & Ioannes, qui ſuper pectus domini recubuit, & pontifex eius, auream laminam in fronte portans, martyr & doctor in Epheſo dormiuit, & Polycarpus epiſcopus & martyr Smyrnæ cubat. Thraſeas quoque epiſcopus & martyr de Eumenia in eadem Smyrna requieſcit. Quid neceſſe eſt Sagaris epiſcopi & martyris recordari, qui in Laodicea ſoporatur, & Papyrij beati, & Melitonis in ſancto ſpiritu eunuchi, qui ſemper domino ſeruiens poſitus eſt in Sardis, & expectat in aduentu eius reſurrectionẽ? Hi omnes obſeruauerunt paſchæ diem decimaquarta luna, ab euangelica traditione in nullam partem declinantes, & eccleſiaſticum ſequentes canonem. Ego quoque minimus omnium ueſtrum Polycrates, ſecundum doctrinã propinquorũ meorum, quos & ſecutus ſum (ſeptem ſiquidem fuerunt propinqui mei epiſcopi, & ego octauus) ſemper paſcha cele-

λεσα, ὅτε ὁ τῶν ἰουδαίων λαὸς τὰ ἄζυμα ἐποίει. τοιγαροῦν ἀδελφοὶ ἑξήκοντα πέντε ἄγων ἔτη ἐν κυρίῳ, καὶ παρὰ πολλῶν ἐκ πάσης τῆς οἰκουμένης ἀδελφῶν παιδευθεὶς, ἐντυχὼν πάσῃ γραφῇ, οὐ δειλιάσω τοὺς ἀπειλουμένους ἡμῖν. ἔφησαν γὰρ οἱ προηγησάμενοί μου πειθαρχεῖν μᾶλλον θεῷ δεῖ ἢ ἀνθρώποις. ταῦτα διὰ τοῦτο τέθεικα, ἵνα τὴν τοῦ ἀνδρὸς αὐθεντίαν διὰ ἐλαχίστου συντάγματος ὑποδείξω. ἤνθησεν ἐν τοῖς χρόνοις σεβήρου τοῦ βασιλέως, ὁπηνίκα καὶ νάρκισσος ἐν ἱεροσολύμοις.

ΗΡΑΚΛΕΙΟΣ.

ΗΡΑΚΛΕΙΟΣ ἐπὶ κομόδου καὶ σεβήρου βασιλέως, τὸν ἀπόστολον ὑπεμνημάτισεν.

ΜΑΞΙΜΟΣ.

ΜΑΞΙΜΟΣ ἐπὶ τῶν αὐτῶν βασιλέων, θαυμαστὸν ζήτημα ἐν ἐπισήμῳ τεύχει συνέταξε, τουτέστιν, πόθεν τὸ κακόν, καὶ ὅτι ἐκ τοῦ θεοῦ ἡ ὕλη ἐδόθη.

ΚΑΝΔΙΔΟΣ.

ΚΑΝΔΙΔΟΣ βασιλευόντων τῶν προγεγραμμένων, εἰς τὴν ἑξαήμερον, ὡραίας συνέταξεν ὁμιλίας.

ΑΠΠΙΩΝ.

ΑΠΠΙΩΝ ἐπὶ σεβήρου τοῦ βασιλέως, ὁμοίως εἰς τὴν ἑξαήμερον ὁμιλίας συνεγράψατο.

ΣΕΞΤΟΣ.

Σ ΕΞΤΟΣ ἐπὶ σεβήρου τοῦ βασιλέως, βίβλον περὶ τῆς ἀναστάσεως συνεγράψατο.

ΒΡΑΒΙΑΝΟΣ.

ΒΡΑΒΙΑΝΟΣ ἐπὶ τοῦ αὐτοῦ βασιλέως, διέδωκέ τινα συντάγματα, τῶν χριστιανῶν δόγματι προσήκοντα.

ΙΟΥΔΑΣ.

ΙΟΥΔΑΣ περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων τῶν κατὰ δανιήλ, ἀκριβῶς διηγήσατο, καὶ χρονογραφίαν τῶν ἀνωτέρω χρόνων, ἕως τοῦ δεκάτου ἐνιαυτοῦ σεβήρου τοῦ βασιλέως συνέταξεν, ἐν ᾗ καταγινώσκεται τὴν τοῦ ἀντιχρίστου ἐπισασίαν, περὶ τοὺς ἰδίους καιροὺς φήσας πλησιάζειν, τὸ γὰρ μέγεθος τοῦ τότε διωγμοῦ, ὡσανεὶ παροῦσαν ἐμήνυε τῆς οἰκουμένης ἀπώλειαν.

ΤΕΡΤΥΛΛΙΑΝΟΣ.

ΤΕΡΤΥΛΛΙΑΝΟΣ πρεσβύτερος νῦν πρῶτος, μετὰ βίκτωρα καὶ ἀπολλώνιον ψηφίζεται τοὺς ῥωμαϊκούς, ἐκ τῆς καρχη-

δόνος

brauí,quando populus Iudæorum azyma faciebat. Itaque fratres ſexagintaquinque annos ætatís meæ natus in domino, & à multis ex toto orbe fratribus eruditus, peragrata omní ſcriptura,non formídabo eos,quí nobís minantur. Dixerunt enim maiores meí:Obedire deo magís oportet, quàm hominibus. Hæc propterea poſuí,ut íngeniũ & autoritatem uiri, ex paruo opuſculo demonſtrarem. Floruit temporibus Seuerí principis, eadem ætate, qua Narciſſus Hieroſolymæ.

HERACLIVS.

HERACLIVS, ſub Commodí Seueríq; ímperio, in apoſtolum cõmentarios compoſuit.

MAXIMVS.

MAXIMVS ſu ijſdem principibus, famoſam quæſtionem inſigní uolumine uentilauit, unde malum, & quod materia à deo facta ſit.

CANDIDVS.

CANDIDVS regnantibus ſupraſcríptis,ín hexaëmeron pulcherrimos tractatus ædidit.

APPION.

APPION ſub Seuero princípe,ſimiliter ín hexaëmeron tractatus fecit.

SEXTVS.

SEXTVS ſub Imperatore Seuero,líbrum de reſurrectione ſcripſit.

BRABIANVS.

BRABIANVS, ſub eodem príncipe ædidit quædam opuſcula ad Chriſtianum dogma pertinentía.

IVDAS.

IVDAS de ſeptuagínta apud Danielem hebdomadibus pleniſſimè díſputauit: & chronographíam ſuperíorum temporũ uſq; ad decímum Seuerí perduxit annum. In qua erroris arguítur, quod aduentum Antichriſti círca ſua tempora futurũ eſſe dixerit: ſed hoc ídeo,quía magnitudo perſecutionum,præſentem mundí mínabatur occaſum.

TERTVLLIANVS.

TERTVLLIANVS presbyter, nunc demum prímus poſt Víctorem & Apolloníũ Latínorũ ponitur, pro-

δόνος τῆς ἀφρικῆς ὁρμώμενος, πατρὸς κεντυρίωνος ἀνθυπατιανοῦ, οὗτος δεινὸς καὶ σφόδρα εὐφυὴς ἐπὶ σεβήρου καὶ ἀντωνίνου τοῦ ἐπίκλην καρακάλου ἤνθησε, πολλὰ συντάξας τεύχη, ἅτινα διὰ τὸ πολλοῖς εἶναι ἐγνωσμένα, παραλιμπάνομεν. Συνέτυχον ἐγὼ παύλῳ ἀπὸ κονκορδίας τῆς ἰταλίας γέροντι, ὅστις τοῦ μακαριωτάτου κυπριανοῦ νοτάριον, λοιπὸν πρεσβύτην, ἔλεγεν, ἔτι νέος ὤν, ἑωρακέναι ἐν τῇ ῥώμῃ, καὶ ἀκηκοέναι παρ' αὐτοῦ, ὡς οὐδὲ μίαν σχεδὸν ἡμέραν διετέλεσε κυπριανὸς ἀναγνωσμάτων τερτυλλιανοῦ χωρίς, συνεχῶς λέγοντος τοῦ αὐτοῦ κυπριανοῦ, ἐπίδος τὸν διδάσκαλον, τερτυλλιανὸν δηλονότι μηνύων. οὗτος ἄχρι μέσης ἡλικίας πρεσβύτερος τῆς ἡμετέρας ἐκκλησίας γέγονεν, ὕστερον δὲ φθόνῳ καὶ προπηλακισμοῖς τῶν κληρικῶν τῆς ἐν ῥώμῃ ἐκκλησίας, εἰς τὸ μοντανοῦ δόγμα ὀλισθήσας, πολλὰς συνέταξε βίβλους, καινῆς προφητείας μέμνηται. καὶ ἰδικῶς κατὰ τῆς ἐκκλησίας συνεγράψατο. οὐδὲν δὲ ἧττον περὶ σωφροσύνης, περὶ διωγμοῦ, περὶ νηστείας, περὶ μονογαμίας, περὶ ἐκστάσεως λόγους ἕξ, καὶ ἕβδομον κατὰ ἀπολλωνίου, καὶ ἕτερα πάμπολλα. ζήσας ἕως γήρως ἐσχάτου.

ΩΡΙΓΕΝΗΣ.

ΩΡΙΓΕΝΗΣ, ὁ καὶ ἀδαμάντιος, δεκάτῳ ἐνιαυτῷ σεβήρου τοῦ περτίνακος, κατὰ τῶν χριστιανῶν διωγμοῦ κινηθέντος, παρὰ λεωνίδου πατρὸς τοῦ καὶ μαρτυρήσαντος, μετὰ ἓξ ἀδελφῶν καὶ μητρὸς χήρας, πένης καταλείφθη, ἐτῶν περίπου ἑπτακαίδεκα, τούτων γὰρ ἡ περιουσία διὰ τὸ εἶναι χριστιανῶν ἐδημεύθη. ὅστις ἐν ἀλεξανδρείᾳ διασκοπισθεῖσαν τὴν ἐκκλησίαν ὀκτωκαίδεκα ἐτῶν τὴν ἡλικίαν ἄγων, κατηχήσεων ἐπιστήμην περιειληφώς. μετ' οὐ πολὺ παρὰ δημητρίου τῆς αὐτῆς πόλεως ἐπισκόπου, εἰς τόπον κλήμεντος πρεσβυτέρου κατασταθείς, ἐπὶ ἔτη πολλὰ διέπρεψε, μεσῆλιξ τε γενόμενος, διὰ τὰς ἐν τῇ ἀχαΐᾳ ἐκκλησίας, αἵτινες παρὰ πολλῶν αἱρέσεων ἐσκύλλοντο, ἐπὶ μαρτυρίᾳ ἐκκλησιαστικῆς ἐπιστολῆς ἀπιὼν διὰ παλαιστίνης εἰς ἀθήνας, παρὰ θεοκτίστου καὶ ἀλεξάνδρου καισαρείας καὶ ἱεροσολύμων ἐπισκόπων, πρεσβύτερος χειροτονηθείς, δημητρίῳ προσέκρουσεν, ὅστις τοσαύτῃ

κατ' αὐτοῦ

uinciæ Africæ, ciuitatis Carthaginenſis, patre Centurione proconſulari. Hic acris & uehementis ingenij, ſub Seuero principe & Antonino Caracalla floruit, multaq; ſcripſit uolumina, quæ quia nota ſunt pluribus, prætermittimus. Vidi ego quendam Paulũ Concordiæ, quod oppidum Italiæ eſt, ſenem, qui ſe beati Cypriani iam grandis ætatis notarium, quum ipſe admodũ eſſet adoleſcens, Romæ uidiſſe diceret, referreq; ſibi ſolitum, nunquam Cyprianum abſq; Tertulliani lectione unam diem præterijſſe: ac ſibi crebrò dicere: Da magiſtrum, Tertullianum uidelicet ſignificans. Hic quum uſq; ad mediam ætatem presbyter eccleſiæ per manſiſſet, inuidia poſtea & contumelijs clericorum Romanæ eccleſiæ, ad Montani dogma delapſus in multis libris nouæ prophetiæ meminit. Specialiter autem aduerſum eccleſiã texuit uolumina de pudicitia, De perſecutione, De ieiunijs, De monogamia, De ecſtaſi libros ſex: & ſeptimũ quem aduerſum Apollonium compoſuit. Ferturq; uixiſſe uſque ad decrepitam ætatem: & multa quæ non extant opuſcula condidiſſe.

ORIGENES.

ORIGENES, qui & Adamantius, decimo Seueri Pertinacis anno, aduerſum Chriſtianos perſecutione commota, à Leonide patre, Chriſti martyrio coronato, cum ſex fratribus & matre uidua, pauper relinquitur, annos natus circiter decem & ſeptem. Rem enim familiarem ob confeſſionem Chriſti, fiſcus occupauerat.

Hic Alexandriæ diſperſa eccleſia, decimooctauo ætatis ſuæ anno, κατηχήσεων opus aggreſſus: poſtea à Demetrio eius urbis epiſcopo, in locum Clementis presbyteri confirmatus, permultos annos floruit: & quum iam mediæ eſſet ætatis, & propter eccleſias Achaiæ, quæ pluribus hæreſibus uexabantur, ſub teſtimonio eccleſiaſticæ epiſtolæ Athenas per Palæſtinam pergeret, à Theoctiſto & Alexandro Cæſareæ & Hieroſolymorum Epiſcopis presbyter ordinatus, Demetrij offendit animum, qui tanta

κατ᾽ αὐτοῦ ἐχρήσατο ἀνοίᾳ, ὥστε ἐπ᾽ ὀνόματι αὐτοῦ εἰς πᾶσαν τὴν οἰκου-
μένην γράψαι. πρὸ τοῦ δὲ μετελθεῖν εἰς καισαρείαν τὴν ῥώμην κα-
τείληφεν ἐπὶ ζεφυρίνου ἐπισκόπου, εὐθύς τε εἰς ἀλεξάνδρειαν ἀναζεύ-
ξας, ἡρακλᾶν τὸν πρεσβύτερον τὸν ἐν σχήματι φιλοσόφου διαπλοῦν-
τα, βοηθὸν συνελάβετο κατηχήσεως, ὅστις καὶ μετὰ δημήτριον τὴν
ἀλεξανδρέων ἐκυβέρνησεν ἐκκλησίαν. ὅσης δὲ δόξης ἐγένετο, ἐκ τούτου
δηλοῦται. φιρμιλλιανὸς γὰρ καισαρείας ἐπίσκοπος μετὰ πάσης τῆς
καππαδοκίας καὶ προέπεμψεν αὐτὸν, καὶ ἐπὶ πολὺ κατεῖχε, καὶ ὕστε-
ρον προφάσει τῶν ἁγίων τόπων εἰς παλαιστίνην ἐλθὼν, ἐν τῇ καισα-
ρέων, παρ᾽ αὐτοῦ τὰς θείας ἐπαιδεύθη γραφάς. κἀκεῖνο δὲ οὐδεὶς ἀγνοεῖ
ὅτι περὶ πρὸς μαμέαν τὴν μητέρα ἀλεξάνδρου τοῦ βασιλέως εὐλαβε-
στάτην γυναῖκα παρακληθεὶς, ἦλθεν εἰς ἀντιοχείαν, καὶ ἐν μεγίστῃ γέ-
γονε τιμῇ, καὶ πρὸς φίλιππον τὸν βασιλέα τὸν πρῶτον ἐκ τῶν ῥωμαί-
ων βασιλέων χριστιανὸν γενόμενον, καὶ πρὸς τὴν τούτου μητέρα γράμ-
ματα ἀπέστειλεν, ἄχρι τοῦ παρόντος τυγχάνοντα. καὶ ὅτι τοσαύτην εἶχε
σπουδὴν περὶ τὰς θείας γραφὰς, ὥστε καὶ τὴν ἑβραϊκὴν διάλεξιν ἐναν-
τιουμένην τῇ τε ἡλικίᾳ, καὶ τῇ οἰκείᾳ φύσει ἐκμαθεῖν. καὶ δίχα τῶν
ἑβδομήκοντα ἑρμηνευτῶν, ἄλλας ἐκδόσεις εἰς ἓν συναγαγεῖν, ἀκύλα
λέγω ποντικοῦ προσηλύτου, καὶ θεοδοτίωνος ἐβιώνος, καὶ συμμάχου
τοῦ αὐτοῦ δόγματος, ὃς τὸ κατὰ ματθαῖον εὐαγγέλιον ὑπεμνημάτισε,
δι᾽ οὗ καὶ τὸ ἴδιον δόγμα βεβαιῶσαι σπεύδει. ὁμοίως δὲ πέντε καὶ ἓξ
καὶ ἑπτὰ τὰς ἐκδόσεις ἅς τινας καὶ ἡμεῖς ἐκ τῆς αὐτοῦ βιβλιοθήκης ἔχο-
μεν, πολλῷ πόνῳ εὑρὼν, μετὰ ἑτέρων ἐκδόσεων ὠνήσατο. καὶ ἐπειδὴ
τὸν ἔλεγχον τῶν αὐτοῦ συνταγμάτων, ἐν δὲ τεύχει τῶν ἐπιστολῶν τῶν
πρὸς παῦλαν παρ᾽ ἡμῶν γραφεισῶν, ἐν μιᾷ ἐπιστολῇ συγκρίνων τοῖς
βάρρωνος ἔργοις τέθεικα, νῦν παραλιμπάνω. ἐκεῖνο περὶ τῆς αὐτοῦ ἀθα-
νάτου εὐφυΐας μὴ σιωπῶν, ὅτι περὶ διαλεκτικὴν, γεωμετρικὴν, ἀριθμητι-
κὴν, μουσικὴν, γραμματικὴν, καὶ ῥητορικὴν, καὶ πάντων τῶν φιλοσό-
φων τὰ δόγματα, οὕτως ἐξέμαθεν, ὥστε σπουδαστὰς τῆς κοσμικῆς γραμ-
μάτων ἀκροατὰς ἐσχηκέναι, καὶ ἐξηγεῖσθαι αὐτοῖς ἑκάστοτε, συνδρομάς
τε πρὸς αὐτὸν πολλὰς γίνεσθαι, ἃς διὰ τοῦτο ἐδέχετο, ἐφ᾽ ᾧ γε προφάσει

τῆς διδα

in eum debacchatus eſt inſania, ut per totum mundū ſuper nomine eius ſcriberet. Conſtat eum antequā Cæſaream mi grraret, fuiſſe Romæ ſub Zephyrino Epiſcopo, & ſtatim Alexandriam reuerſum, Heraclan presbyterū iterum qui ſub habitu philoſophi perſeuerabat, adiutorem ſibi feciſſe κατηχήσεως, qui quidem & poſt Demetrium Alexandrinā tenuit eccleſiam.

Quantæ autem gloriæ fuerit, hinc apparet quod Phir milLianus Cæſareæ epiſcopus, cum omni Cappadocia eum inuitauit, & diu tenuit, & poſtea ſub occaſione ſanctorum locorum Palæſtinam ueniens, diu Cæſareæ in ſanctis ſcri pturis ab eo eruditus eſt. Sed & illud, quod ad Mameam matrem Alexandri Imperatoris religioſam fœminam roga tus uenit Antiochiā, & ſummo honore habitus eſt: quodq; ad Philippum Imperatorem, qui primus de regibus Roma nis Chriſtianus fuit, & ad matrem eius literas fecit, quæ uſ que hodie extant. Et quod tantum in ſcripturis diuinis ha buerit ſtudij, ut etiam Hebræam linguam cōtra ætatis gen tisq; ſuæ naturam ediſceret. Et exceptis ſeptuaginta inter pretibus, alias quoque æditiones in unum congregaret uo lumen, Aquilæ ſcilicet Pontici proſelyti, & Theodotionis Hebionei, & Symmachi eiuſdem dogmatis, qui in Euan gelium quoque κατὰ ματθαῖον ſcripſit commentarios, de quo & ſuum dogma confirmare conatur. Præterea quin tam & ſextam & ſeptimam æditionem, quas etiam nos de eius bibliotheca habuimus, miro labore repperit, & cum cæteris æditionibus comparauit. Et quia indicem operum eius, in uoluminibus epiſtolarum, quas ad Paulam ſcripſi mus, in quadam epiſtola contra Varronis opera conferens poſui, nunc omitto. Illud de immortali eius ingenio non tacens, quod Dialecticam quoque & Geometriam, Ari thmeticam, Muſicam, Grammaticam, & Rhetoricam, omniumq; philoſophorum ſectas ita didicit, ut ſtudioſos quoque ſecularium literarum ſectatores haberet, & inter pretaretur eis quotidie, concurſusque ad eum miri fierent, quos ille propterea recipiebat, ut ſub occaſione ſecularis

τῆς διδασκαλίας, εἰς τὴν τοῦ ΧΡΙΣΤΟΥ πίστιν ἀνάγειν πάντας. Περὶ γὰρ τῆς ὠμότητος τοῦ διωγμοῦ, τοῦ κατὰ τῶν χριστιανῶν, ἐπὶ δεκίου κινηθέντος, ἐλύσσα γὰρ εἰς τὴν φιλίππου εὐλάβειαν ὃν καὶ ἀπέκτεινεν, εἰπεῖν. ἡγοῦμαι περιττόν. ἐν αὐτῷ δὲ τῷ διωγμῷ, καὶ φλαβιανὸς ὁ ῥώμης ἐπίσκοπος ἐτελεύτησεν. καὶ ἀλέξανδρος καὶ βαβύλας ἱεροσολύμων καὶ ἀντιοχείας ἐπίσκοποι, ἐν τῇ φυλακῇ ὁμολογηταὶ ἐκοιμήθησαν. Εἰ δέ τις περὶ ὠριγένους μαθεῖν ἐθελήσῃ, πρῶτον μὲν ἐκ τῶν ἐπιστολῶν αὐτοῦ τῶν μετὰ τὸν διωγμόν, πρὸς διαφόρους ἀπεσταλεσῶν, ἔπειτα δὲ καὶ ἀπὸ τοῦ ἕκτου λόγου τῆς εὐσεβίου καισαρείας ἐπισκόπου ἱστορίας. καὶ ὑπὲρ τοῦ αὐτοῦ ὠριγένους βιβλίων ἕξ, τηλαυγῶς μαθεῖν δυνήσεται. Ἔζησεν ἕως γάλλου καὶ βολουσιανοῦ, τουτέστιν, ἕως ἐνάτου καὶ ἑξηκοστοῦ τῆς ἡλικίας αὐτοῦ ἔτους, καὶ ἐκοιμήθη ἐν τύρῳ, ἐν ᾗ καὶ ἐτάφη.

ΑΜΜΩΝΙΟΣ.

ΑΜΜΩΝΙΟΣ ὁ ἐλλογιμώτατος καὶ φιλοσοφίας πεπαιδευμένος, ἐν τοῖς αὐτοῖς χρόνοις ἐν ἀλεξανδρείᾳ λαμπρὸς φανείς, μεταξὺ τῶν συνταγέντων παρ' αὐτοῦ περιφανῶν λόγων, καὶ περὶ τῆς συμφωνίας μωϋσέως, καὶ ἰησοῦ, βίβλον θαυμαστὴν συνέθηκε, καὶ εὐαγγελικοὺς κανόνας ἐφεῦρεν, οἷς μετὰ ταῦτα ἐξηκολούθησεν, εὐσέβιος ὁ καισαρεύς. Τούτου πλαστῶς κατηγορεῖ ὁ πορφύριος, φάσκων ἀπὸ χριστιανῶν ἐθνικὸν γεγενῆσθαι, ὃς δὲ ἄχρι τῆς τελευταίας χριστιανὸς διετέλεσεν.

ΑΜΒΡΟΣΙΟΣ.

ΑΜΒΡΟΣΙΟΣ πρῶτον μαρκιωνιστής, ὕστερον παρὰ ὠριγένους διορθωθείς, ἐκκλησίας διάκονος, καὶ θείας ἐξομολογήσεως ἐπίσημος ἐγένετο. τούτῳ ὑπὲρ θεοκτίστου πρεσβυτέρου βίβλος ὠριγένους, περὶ τοῦ μαρτυρίου γράφεται. τῇ σπουδῇ τούτου καὶ ἀναλώμασιν καὶ ἐπείξει, πρὸς τοῦτον πάμπολλα ὠριγένης ἐπέστειλε συντάγματα, ἀλλὰ καὶ αὐτὸς ἀνὴρ εὐγενέστατος ὤν, οὐκ ἄκομψος ἐν τῇ εὐφυΐᾳ ἐγένετο, καθὰ αἱ πρὸς ὠριγένην τούτου δηλοῦσιν ἐπιστολαί. Ἐτελεύτησε δὲ πρὸ ὠριγένους, καὶ ἐν τούτῳ παρὰ πολλῶν καταγινώσκεται, ὅτι πλούσιος ὤν, τοῦ οἰκείου φίλου γέροντος καὶ πένητος τελευτῶν, οὐκ ἐμνήσθη.

literaturæ, in fide Chriſti eos inſtitueret. De crudelitate autem perſecutionis, quæ aduerſum Chriſtianos ſub Decio conſurrexit, eo quod in religionē Philippi deſæuiret, quem & interfecit, ſuperfluum eſt dicere, quum etiam Fabianus Romanæ eccleſiæ epiſcopus, in ipſa occubuerit, & Alexander Babylasq́ Hieroſolymorum & Antiochenæ eccleſiæ pontifices in carcere pro confeſſione dormierint. Et ſuper Origenis ſtatu ſi quis ſcire uelit, quid actum ſit, primū quidem de epiſtolis eius, quæ poſt perſecutionem ad diuerſos miſſæ ſunt, deinde & de ſexto Euſebij Cæſarienſis eccleſiaſticæ hiſtoriæ libro, & pro eodē Origene in ſex uoluminibus, poſſit liquidò cognoſcere. Vixit uſque ad Gallum & Voluſianum, id eſt uſque ad ſexageſimumnonū ætatis ſuæ annum, & mortuus eſt Tyri, in qua urbe & ſepultus eſt.

AMMONIVS.

AMMONIVS uir diſertus & eruditus in philoſophia eodem tempore Alexandriæ clarus habitus eſt, qui inter multa ingenij ſui & præclara monumenta, etiā de conſonantia Moyſi, & Ieſu, elegans opus compoſuit, & euangelicos canones excogitauit, quos poſtea ſecutus eſt Euſebius Cæſarienſis. Hunc falſò accuſat Porphyrius, quod ex Chriſtiano ethnicus fuerit, quum conſtet eum uſque ad extremam uitam, Chriſtianum perſeueraſſe.

AMBROSIVS.

AMBROSIVS primum Marcionites, deinde ab Origene correctus, eccleſiæ diaconus, & cōfeſſionis dominicæ gloria inſignis fuit, cui pro Theoctiſto presbytero liber Origenis de Martyrio ſcribitur. Huius induſtria & ſumptu & inſtantia, ad hunc infinita Origenes dictauit uolumina. Sed & ipſe quippe ut uir nobilis, non inelegantis ingenij fuit, ſicut eius ad Origenē epiſtolæ indicio ſunt. Obijt ante mortem Origenis, & in hoc à pleriſq; reprehenditur, quod uir locuples, amici ſui egeni ſenis & pauperis, moriens non recordatus ſit.

ΤΡΥΦΩΝ.

ΤΡΥΦΩΝ Ὠριγένους ἀκροατής, πρὸς ὃν πολλαί εἰσιν ἐπιστολαί, ἐν ταῖς θείαις γραφαῖς πεπαιδευμένος, καθὰ σποράδην δείκνυσι συντάγματα, καὶ ἐξαιρέτως ἡ βίβλος, ἡ περὶ βουθηλείας τῆς ἐν τῷ δευτερονομίῳ, καὶ περὶ τῶν διχοτομούντων, ἅτινα μετὰ τῆς περιστερᾶς καὶ τρυγόνος τῷ ἀβραὰμ, ἐν τῇ γενέσει ἀναγινώσκομεν.

ΜΙΝΟΥΚΙΟΣ ΦΗΛΙΞ.

ΜΙΝΟΥΚΙΟΣ φῆλιξ, ἐν ῥώμῃ ἐπίσημος δικολόγος ὤν, συνέγραψε διαλόγους χριστιανοῦ καὶ ἐθνικοῦ, ὃν ἐπέγραψε ὀκτάβιον. καὶ ἕτερος δὲ λόγος ἐξ ὀνόματος αὐτοῦ φέρεται, περὶ μοίρας, ἤτοι κατὰ τῶν μαθηματικῶν, ὅς τις λόγος εἰ καὶ ἐλλογίμου ἀνδρὸς φαίνεται, ἐμοὶ δὲ οὐ δοκεῖ συνᾴδειν τῷ χαρακτῆρι τοῦ προειρημένου λόγου. μέμνηται τούτου τοῦ μινουκίου καὶ λακτάντιος ἐν τοῖς ἰδίοις συγγράμασιν.

ΓΑΪΟΣ.

ΓΑΪΟΣ ἐπὶ ζεφυρίνου ῥώμης ἐπισκόπου, τουτέστιν ἐπὶ ἀντωνίνου υἱοῦ σεβήρου, διάλεξιν κατὰ πρόκλου σπουδαστοῦ μοντανοῦ, σφόδρα μεγίστην ἔχειν, εὐθύνων αὐτοῦ προπετείας, τῆς καινῆς προφητείας. ἐν αὐτῷ τεύχει, τρισκαίδεκα ἐπιστολὰς μόνας παύλου ἀπαριθμούμενος, τὴν γὰρ πρὸς ἑβραίους, λέγει μὴ εἶναι αὐτοῦ, ἀλλὰ καὶ παρὰ τοῖς ῥωμαίοις, ἄχρι τοῦ παρόντος, παύλου τοῦ ἀποστόλου νομίζεται μὴ εἶναι.

ΒΗΡΥΛΑΟΣ.

ΒΗΡΥΛΛΟΣ, ἀραβίας τῆς βοστρηνῶν ἐπίσκοπος, ἐπὶ τινα χρόνον ἐνδόξως κυβερνήσας τὴν ἐκκλησίαν, τελευταῖον εἰς τὴν αἵρεσιν, τὴν ἀρνουμένην τὸν ΧΡΙΣΤΟΝ πρὸ τῆς ἐνανθρωπήσεως, ὀλισθήσας, παρὰ ὠριγένους ἐπιστραφείς, συνέγραψε ποικίλα πράγματα, καὶ μάλιστα ἐπιστολάς, ἐν αἷς τῷ ὠριγένει εὐχαριστεῖ. ἀλλὰ καὶ ὠριγένους πρὸς αὐτὸν, εἰσὶν ἐπιστολαί. ἔστι διάλογος ὠριγένους καὶ βηρύλλου, ἐν ᾧ αἱρέσεως εὐθύνεται. διέπρεψε δὲ ἐπὶ ἀλεξάνδρου τοῦ μαμαίας υἱοῦ, καὶ μαξιμίνου καὶ γορδιανοῦ τῶν διαδεξαμένων τὴν ἐκείνου βασιλείαν.

ΙΠΠΟΛΥΤΟΣ

TRYPHON.

TRYPHON Origenis auditor, ad quem nõnullæ eius extant epiſtolæ, in ſcripturis eruditiſſimus fuit, quod quidem & multa eius ſparſim oſtendunt opuſcula, ſed præcipuè liber, quem compoſuit de uacca ruffa in Deuteronomio, & de dichotomimatibus, quæ cum columba & turture ponuntur in Geneſi.

MINVTIVS FELIX.

MINVTIVS Felix, Romæ inſignis cauſidicus, ſcripſit dialogum Chriſtiani & ethnici diſputantiũ, qui Octauius inſcribitur: ſed & alius ſub nomine eius fertur de fato, uel contra Mathematicos, qui quum ſit & ipſe diſerti hominis, non mihi uidetur cum ſuperioris libri ſtylo cõuenire. Meminit huius Minutij & Lactantius in libris ſuis.

GAIVS.

GAIVS ſub Zephyrino Romanæ urbis epiſcopo, id eſt ſub Antonino Seueri filio, diſputationem aduerſum Proculum, Montani ſectatorẽ ualde inſignem habuit, arguens eum temeritatis, ſuper nouam prophetiam defendendam: & in eodem uolumine epiſtolas quoq; Pauli, tredecim tantum enumerãs, decimamquartam, quæ fertur ad Hebræos, dicit non eius eſſe, ſed & apud Romanos uſque hodie quaſi Pauli apoſtoli non habetur.

BERYLLVS.

BERYLLVS Arabiæ Boſtrenus epiſcopus, quum aliquanto tempore glorioſe rexiſſet eccleſiam, ad extremum lapſus in hæreſim, quę Chriſtum ante incarnationem negat, ab Origene correctus, ſcripſit uaria opuſcula, & maximè epiſtolas, in quibus Origeni gratias agit, ſed & Origenis ad eum literæ ſunt. Extat dialogus Origenis & Berylli, in quo hæreſeos coarguitur. Claruit autem ſub Alexandro Mameæ filio, & Maximino & Gordiano, qui ei in imperium ſucceſſerunt.

ΙΠΠΟΛΥΤΟΣ.

ΙΠΠΟΛΥΤΟΣ οὐκ οἶδα ποίας ἐκκλησίας ἐπίσκοπος, ἢ τίνος πόλεως τὴν προσηγορίαν μαθεῖν οὐκ ἠδυνήθην, συνέγραψε λόγον τοῦ πάσχα, καὶ τοὺς χρονικοὺς κανόνας, ἕως τοῦ πρώτου ἐνιαυτοῦ ἀλεξάνδρου τοῦ βασιλέως, δεκαὲξ λέγω δὴ ἐνιαυτῶν κύκλον, ὃν οἱ λεγόμενοι γραϊκοὶ, ἑξκαιδεκαετηρίδα καλοῦσιν, εὐσεβίῳ ὑπὲρ περὶ αὐτοῦ τοῦ πάσχα ἐννεακαιδεκαετηρίδα συντάξαντι πρόφασιν παρεσχηκώς. Εγραψεν εἰς τὰς θείας γραφὰς ὑπομνήματα, ἀφ' ὧν τά δε εὗρον. Εις τὴν ἑξαήμερον, εἰς τὴν ἔξοδον, εἰς τὰ ἄσματα τῶν ἀσμάτων, εἰς τὴν γένεσιν εἰς ζαχαρίαν, περὶ ψαλμῶν, εἰς ἠσαΐαν, περὶ δανιὴλ, περὶ ἀποκαλύψεως περὶ παροιμιῶν, περὶ ἐκκλησιαστοῦ, περὶ σαοὺλ καὶ πύθωνος, περὶ τοῦ ἀντιχρίστου, περὶ ἀναστάσεως, κατὰ μαρκίωνος, περὶ τοῦ πάσχα, κατὰ πασῶν τῶν αἱρέσεων, πρὸς ὁμιλιῶν, περὶ τῶν ἐπαίνων τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, ἐν οἷς, παρόντος ὠριγένους, ἑαυτὸν ὡμιληκέναι κατὰ μίμησιν αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ δηλοῖ. Αμβρόσιος, ὃν εἶνα ἀπὸ τῆς πλάνης μαρκίωνος, εἰς τὴν ἀληθινὴν πίστιν ἐπιστρέψαι προειρήκαμεν, προτρέψατο ὠριγένη τὰς θείας ὑπομνηματίσαι γραφάς, παρεσχηκὼς αὐτῷ, ἑπτὰ ἢ καὶ πλείους νοταρίους, καὶ τὰς τούτων δαπάνας, καὶ καλλιγράφους τὸν ἴσον ἀριθμόν, καὶ ὅπερ ἐστὶ μεῖζον, ἀνυποίστῳ σπουδῇ, ἑκάστοτε ἔργον παρ' αὐτοῦ ἀπαιτῶν, διὸ ἐν μιᾷ ἐπιστολῇ, ἐργοδιόκτην αὐτὸν ὠριγένης καλεῖ.

ΑΛΕΞΑΝΔΡΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΑΛΕΞΑΝΔΡΟΣ ἐπίσκοπος καππαδοκίας, πόθῳ τῶν ἁγίων τόπων ἐπιστὰς τῇ ἱεροσολύμων, τοῦ ἐπισκόπου ναρκίσσου τῆς αὐτῆς πόλεως ἤδη γεγηρακότος, καὶ τὴν ἐκκλησίαν κυβερνῶντος, αὐτῷ τε ὑπὸ ναρκίσσου καὶ πολλοῖς κληρικοῖς αὐτοῦ ἀπεκαλύφθη μέλλειν τῇ ἐξῆς ἔωθεν εἰσιέναι ἐπίσκοπον, τὸν ὀφείλοντα βοηθὸν γενέσθαι τῆς ἱερατικῆς καθέδρας, τοῦ πράγματος τοίνυν καθὼς προεμηνύθη πληρωθέντος, πάντων τῶν ἐν παλαιστίνῃ ἐπισκόπων ἐπὶ τὸ αὐτὸ συναχθέντων, συνεπινεύοντος αὐτοῖς ναρκίσσου, τὴν κυβέρνησιν τῆς ἐν ἱεροσολύμοις ἐκκλησίας σὺν αὐτῷ ἀνεδέξατο.

HIPPOLITVS EPISCOPVS.

HIPPOLYTVS cuiuſdam eccleſiæ Epiſcopus (nomen quippe urbis ſcire non potui) rationem paſchæ, temporum'que canones ſcripſit, uſque ad primum annum Alexandri Imperatoris, & ſedecim annorum circulum, quem Græci ἑξκαιδεκαετηρίδα uocant, repperit, & Euſebio qui ſuper eodem paſcha, canonem decem & nouem annorum circulum, id eſt ἐννεακαιδεκαετηρίδα compoſuit, occaſionem dedit. Scripſit nonnullos in ſcripturas commentarios, è quibus hos repperi, in ἑξαήμερον, & in Exodum, & in Canticum canticorum, in Geneſim, & in Zachariam, De pſalmis, in Eſaiam, De Daniele, De Apocalypſi, De Prouerbijs, De Eccleſiaſte, De Saul, De Phytoniſſa, De Antichriſto, De reſurrectione, contra Marcionem, De paſcha aduerſum omnes hæreſes. Et πρὸς ὁμιλιῶν, De laude domini ſaluatoris, in qua præſente Origene, ſe loqui in eccleſia ſignificat, in huius æmulationẽ. Ambroſius, quem de Marcionis hæreſi ad ueram fidem correctum diximus, cohortatus eſt Origenem in ſcripturas commentarios ſcribere, præbens ei ſeptem & eo amplius notarios, eorumq́ expenſas, & librariorum parem numerum, quod'que his maius eſt, incredibili ſtudio quotidie ab eo opus exigens. Vnde in quadã epiſtola ἐργοδιώκτην eum Origenes uocat.

ALEXANDER EPISCOPVS.

ALEXANDER epiſcopus Cappadociæ, quũ deſiderio ſanctorum locorum Hieroſolymam pergeret, & Narciſſus epiſcopus eiuſdem urbis, iam ſenex regeret eccleſiam, & Narciſſo & multis clericis eius reuelatum eſt, altera die mane intrare epiſcopum, qui adiutor ſacerdotalis cathedræ eſſe deberet. Itaque re ita completa, ut prædicta fuerat, cunctis in Palæſtina epiſcopis in unum congregatis, adnitente quoque ipſo, uel maxime Narciſſo, Hieroſolymitanæ eccleſiæ cum eo gubernaculum

ἀνεδέξατο. οὗτος ἐν τῷ τέλει μιᾶς ἐπιστολῆς γραφείσης παρ' αὐτοῦ πρὸς ἀντινοΐτας, περὶ τῆς ἐκκλησιαστικῆς εἰρήνης, ἔφη, ἀσπάζεται ὑμᾶς νάρκισσος, ὃς πρὸ ἐμοῦ εἴχετο τῆς ἐνταῦθα ἐπισκοπῆς, καὶ νῦν τὸν αὐτὸν ἰθύνων μετ' ἐμοῦ εὐχόμενος ἐπέχει, ἐνιαυτὸν ἄγων, ἑκατοστὸν ἑξκαιδέκατον, δεόμενος ὑμῶν ἅμα ἐμοὶ, ἵνα τὸ αὐτὸ καὶ ἓν φρονήσητε. Ἔγραψε καὶ ἄλλην πρὸς ἀντιοχεῖς, διὰ κλήμεντος πρεσβυτέρου ἀλεξανδρείας, περὶ οὗ προεῖπον, οὐ μὴν ἀλλὰ καὶ πρὸς ὠριγένην, καὶ ὑπὲρ ὠριγένους κατὰ δημητρίου, καὶ ὅτι προσμαρτυροῦντος δημητρίου, πρεσβύτερον αὐτὸν ἐχειροτόνησε. καὶ ἄλλαι δὲ αὐτοῦ πρὸς διαφόρους φέρονται ἐπιστολαί. τῷ δὲ ἑβδόμῳ διωγμῷ ἐπὶ δεκίου, ἡνίκα καὶ βαβύλας ἐν ἀντιοχείᾳ ἔπαθεν, ἀχθεὶς εἰς καισάρειαν, καὶ εἰς φυλακὴν ἐγκλεισθεὶς, διὰ τὴν τοῦ χριστοῦ ὁμολόγησιν ἐμαρτύρησεν.

ΙΟΥΛΙΟΣ ΑΦΡΙΚΑΝΟΣ.

ΙΟΥΛΙΟΣ ἀφρικανὸς, οὗ πέντε περὶ χρόνων τυγχάνει λόγοι, ἐπὶ μάρκου αὐρηλίου ἀντωνίνου τοῦ διαδεξαμένου μακρῖνον, πρεσβείαν ἀνεδέξατο περὶ ἀναστάσεως ἐμμαοῦς τῆς πόλεως τῆς μετακληθείσης νικοπόλεως. ἔστι καὶ ἐπιστολὴ πρὸς ὠριγένην, ἕνεκεν τῆς κατὰ σωσάνναν ζητήσεως, λέγει δὲ ἐν τῷ ἑβραϊκῷ τοῦτον μὴ εἶναι τὸν μῦθον, μὴ δὲ συνᾴδειν τῇ ἑβραϊκῇ ἐτυμολογίᾳ, ἀπὸ τοῦ πρίνου πρίσαι, καὶ ἀπὸ τοῦ σχίνου σχίσαι, πρὸς ὃν δεδοκιμασμένην ἐπιστολὴν γράφει ὠριγένης. ἔστιν αὐτοῦ καὶ πρὸς ἀριστείδην ἄλλη ἐπιστολή, ἐν ᾗ περὶ τῆς διαφωνίας τῆς δοκούσης εἶναι, ἐν τῇ γενεαλογίᾳ τοῦ σωτῆρος παρὰ ματθαίου καὶ λουκᾶ, ἀρκούντως διαλέγεται.

ΓΕΜΙΝΟΣ.

ΓΕΜΙΝΟΣ τῆς κατὰ ἀντιόχειαν ἐκκλησίας πρεσβύτερος, ὀλίγα τῆς οἰκείας εὐφυΐας βιβλία συνέταξεν. ἀνθήσας ἐπὶ ἀλεξάνδρου τοῦ βασιλέως, καὶ ἐπὶ ζεβέννου ἐπισκόπου τῆς ἰδίας πόλεως, ἐν ἐκείνῳ μάλιστα τῷ καιρῷ, ἐν ᾧ ἡρακλᾶς, τῆς ἀλεξανδρέων ἐκκλησίας πρεσβύτερος κατέστη.

ΘΕΟΔΩΡΟΣ.

ΘΕΟΔΩΡΟΣ, ὃς ὕστερον ἐκλήθη γρηγόριος, νεοκαισαρείας ἐπίσκοπος, νέος κομιδῆ, διὰ τὴν παίδευσιν ἑλληνικήν τε καὶ

ῥωμαϊκῶν

ſuſcepit. Hic in fine cuiuſdam epiſtolæ, quã ſcribit ad Antinoitas ſuper pace eccleſiæ, ait: Salutat uos Narciſſus, qui ante me hic tenuit epiſcopalem locum, & nunc mecũ eundem orationibus regit, annos natus circiter centum ſedecim, & uos mecum precatur, ut unum idemq́ſapiatis. Scripſit & aliam ad Antiochenſes, per Clementem presbyterum Alexandriæ, de quo ſupra diximus: necnon ad Origenem, & pro Origene contra Demetrium, eo quod iuxta teſtimonium Demetrij, eum presbyterum conſtituerit. Sed & aliæ eius ad diuerſos feruntur epiſtolæ. Septima autem perſecutione ſub Decio, quo tempore Babylas Antiochiæ paſſus eſt, ductus Cæſaream & clauſus in carcere, ob confeſſionem Chriſti, martyrio coronatur.

IVLIVS. AFRICANVS.

IVLIVS Africanus, cuius quinq́ de temporibus extant uolumina, ſub Imperatore M. Aurelio Antonino, qui Macrino ſucceſſerat, legationem pro inſtauratione urbis Emmaus ſuſcepit, quæ poſtea Nicopolis appellata eſt: huius eſt epiſtola ad Origenem ſuper quæſtione Suſannæ, eo quod dicat in Hebræo, hanc fabulam non haberi, nec conuenire cum Hebraica etymologia, ἀπὸ τοῦ χίνου χίσαι, καὶ ἀπὸ τοῦ πρίνου πρίσαι, contra quem doctam epiſtolam ſcribit Origenes. Extat eius ad Ariſtidẽ altera epiſtola, in qua ſuper διαφωνίας, quæ uidetur eſſe in genealogia ſaluatoris apud Matthæum & Lucam, pleniſſimè diſputat.

GEMINVS.

GEMINVS Antiochenæ eccleſiæ presbyter, pauca ingenij ſui monumenta compoſuit, florens ſub Alexandro principe, & epiſcopo urbis ſuæ Zebenno, eo uel maximè tempore, quo Heraclas, Alexandrinæ eccleſiæ pontifex ordinatus eſt.

THEODORVS.

THeodorus qui poſtea Gregorius appellatus, Neocæſareæ, Ponti epiſcopus, admodũ adoleſcẽs ob ſtudio græ

ῥωμαϊκῶν γραμμάτων, ἀπὸ τῆς καππαδοκίας εἰς βηρυτὸν, κἀκεῖθεν εἰς καισάρειαν τῆς παλαιστίνης διέβη, ἅμα ἀθηνοδώρῳ ἀδελφῷ. ὧν τὴν ἐξαίρετον εὐφυΐαν ἑωρακὼς ὠριγένης, τούτους εἰς φιλοσοφίαν προετρέψατο, καὶ κατὰ μέρος εἰς τὴν τοῦ χριστοῦ πίστιν εἰσάγων, ζηλωτὰς ἰδίους κατέστησεν. ἐπὶ πέντε γοῦν παρ' αὐτοῦ παιδευθέντες ἔτη, πρὸς τὴν μητέρα ἀπεπέμποντο, ἀφ' ὧν ὁ θεόδωρος ἀποδημῶν, πανηγυρικὸν εὐχαριστίας τῷ ὠριγένει ἔγραψε. καὶ συγκαλεσάμενος πάντας τοὺς ἐπιχωρίους, αὐτοῦ τε τοῦ ὠριγένους παρόντος, τοῦτον ἀνέγνω τὸν λόγον, ὃς καὶ ἄχρι τοῦ παρόντος ὑπάρχει. Ἔγραψε δὲ καὶ ἔκφρασιν εἰς ἐκκλησιαστὴν, ἐλάχιστον μὲν, πάνυ δὲ θαυμαστὸν λόγον, καὶ ἄλλας πολλὰς ἐπιστολὰς [illegible] σημεῖά τε καὶ θαύματα, ἡνίκα ἐπίσκοπος ἐτύγχανεν.

ΚΟΡΝΗΛΙΟΣ.

ΚΟΡΝΗΛΙΟΣ ῥώμης ἐπίσκοπος, πρὸς ὃν, ὀκτὼ κυπριανοῦ ἐπιστολαὶ τυγχάνουσιν, ἔγραψεν ἐπιστολὴν πρὸς φλαβιανὸν ἀντιοχείας ἐπίσκοπον, περὶ τῆς συνόδου ῥώμης, ἰταλίας, καὶ ἀφρικῆς, καὶ ἑτέραν περὶ νοβατιανοῦ, καὶ τῶν ὀλισθησάντων, τρίτην περὶ τῶν ἐν τῇ συνόδῳ πραχθέντων, τετάρτην πρὸς τὸν αὐτὸν φλαβιανὸν, πάνυ μεγάλην, καὶ τὰς αἰτίας τῆς νοβατιανοῦ αἱρέσεως, καὶ ἀναθέματα περιέχουσαν. ἐκυβέρνησε τὴν ἐκκλησίαν ἔτη δύο, γάλλου καὶ βοσιλιανοῦ βασιλευόντων, ὃν καὶ μετὰ τὸ μαρτύριον τοῦ χριστοῦ, διεδέξατο λούκιος.

ΚΥΠΡΙΑΝΟΣ.

ΚΥΠΡΙΑΝΟΣ ἄφρος, πρῶτον ἐνδόξως τὴν ῥητορικὴν διδάξας, πεισθεὶς παρὰ κεκιλίου πρεσβύτερον, οὗ καὶ τὴν ἐπωνυμίαν ἐκληρώσατο, χριστιανὸς γενόμενος, πᾶσαν αὐτοῦ τὴν περιουσίαν τοῖς πτωχοῖς δέδωκε. καὶ μετ' οὐ πολὺ καταταγεὶς εἰς πρεσβύτερον, καὶ ἐπίσκοπος ἐγένετο καρθαγένης. τούτου τὸν τῆς εὐφυΐας κατάλογον ὑφαίνειν, περιττὸν ἡγοῦμαι, διὰ τὸ λαμπρότερα εἶναι τοῦ ἡλίου, τὰ τούτου συντάγματα. Ἔπαθεν ἐπὶ βαλριανοῦ καὶ γαληΐνου βασιλέων διωγμῷ ὀγδόῳ, ἐν αὐτῇ τῇ ἡμέρᾳ, ἐν ᾗ ἐν τῇ ῥώμῃ κορνήλιος, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ ἐνιαυτῷ.

ΠΟΝΤΙΟΣ

carum & Latinarum literarum, de Cappadocia Berytum, & inde Cæſareā Palæſtinæ tranſijt, iuncto ſibi fratre Athenodoro. Quorum quum egregiam indolem uidiſſet Origenes, hortatus eſt eos ad philoſophiā, in qua paulatim Chriſti fidem ſubintroducens, ſui quoq; ſectatores reddidit. Quinquennio itaque eruditi ab eo, remittuntur ad matrem è quibus Theodorus proficiſcens, πανηγυρικὸν εὐχαριστίας ſcripſit Origeni, & conuocata grandi frequentia, ipſo quoque Origene præſente recitauit, qui uſq; hodie extat. Scripſit & μετάφρασιν in Eccleſiaſten, breuem quidem, ſed ualde utilem. Et aliæ huius uulgo feruntur epiſtolæ, ſed præcipuè ſigna atq; miracula, quæ iam epiſcopus cum multa eccleſiarum gloria perpetrauit.

CORNELIVS.

CORNELIVS Romanæ urbis epiſcopus, ad quē octo Cypriani extant epiſtolæ, ſcripſit epiſtolam ad Flauianum, Antiochenæ eccleſiæ epiſcopum, de Synodo Romana, Italica, Aphricana, & aliam de Nouatiano, & de his qui lapſi ſunt: tertiam de geſtis ſynodi, quartam ad eundem Flauianum ualde prolixam, & Nouatianæ hæreſeos cauſas & anathema continentē. Rexit eccleſiam annis duobus ſub Gallo & Voluſiano, cui ob Chriſtum martyrio coronato, ſucceſſit Lucius.

CYPRIANVS.

CYPRIANVS Afer, primum glorioſe Rhetoricā docuit, exinde ſuadente presbytero Cecilio, à quo & cognomentū ſortitus eſt, Chriſtianus factus, omnem ſubſtantiam ſuam pauperibus erogauit, ac poſt non multum temporis electus in presbyterū, etiam epiſcopus Carthaginenſis conſtitutus eſt. Huius ingenij ſuperfluum eſt indicem texere, quum ſole clariora ſint eius opera.

Paſſus eſt ſub Valeriano & Galieno principibus, perſecutione octaua, eodem die, quo Romæ Cornelius, ſed nō eodem anno.

ΠΟΝΤΙΟΣ.

ΠΟΝΤΙΟΣ διάκονος κυπριανοῦ, ἕως τῆς ἡμέρας τοῦ πάθους αὐτοῦ, ἅμα αὐτῷ τὴν ἐξορίαν ὑπομείνας, ἐξαίρετον τεῦχος, βίου τε καὶ πάθους τοῦ αὐτοῦ κυπριανοῦ καταλέλοιπεν.

ΔΙΟΝΥΣΙΟΣ ΕΠΙΣΚΟΠΟΣ.

ΔΙΟΝΥΣΙΟΣ ἀλεξανδρείας ἐπίσκοπος, ἐπὶ ἡρακλᾶ, σχολὴν καθηγήσεων πρεσβυτερίου κατεῖχε, καὶ ὀρθοδόξους ἐπίσημος βοηθὸς ἐγένετο. οὗτος εἰς τὸ δόγμα τοῦ κυπριανοῦ, καὶ τῆς ἀφρικῆς συνόδου συναινῶν, περὶ αἱρετικῶν ἀναβαπτισθησομένων, πολλὰς πρὸς διαφόρους ἀπέστειλεν ἐπιστολάς, τὰς καὶ ἄχρι τοῦ παρόντος τυγχανούσας. καὶ πρὸς φλαβιανὸν τὸν ἀντιοχείας ἐπίσκοπον, γράφει περὶ μετανοίας. καὶ πρὸς ῥωμαίους διὰ ἱππολύτου ἑτέραν. καὶ πρὸς ξύστον διαδεξάμενον στέφανον, ἐπιστολὰς δύο. πρὸς φιλήμονα καὶ διονύσιον τῆς ἐν ῥώμῃ ἐκκλησίας πρεσβυτέρους, ἐπιστολὰς δύο. καὶ πρὸς τὸν αὐτὸν διονύσιον, ὕστερον ῥώμης ἐπίσκοπον. καὶ πρὸς νοβατιανὸν αἰτιώμενον, ὡς ἄκων ἐν τῇ ῥώμῃ ἐχειροτονήθη ἐπίσκοπος, ἧς τινος ἐπιστολῆς τὸ προοίμιον, ἔχει οὕτως. Διονύσιος ἀλεξανδρείας νοβάτῳ. εἰ ἄκων ὡς φὴς ἤχθης, δείξεις ἀναχωρήσας ἑκών. ἔδει μὲν γὰρ καὶ πᾶν ὁτιοῦν παθεῖν, ὑπὲρ τοῦ μὴ διακόψαι τὴν ἐκκλησίαν τοῦ θεοῦ, καὶ ἦν οὐκ ἀδοξοτέρα τῆς ἕνεκεν μὴ εἰδωλολατρῆσαι γινομένης, ἡ ἕνεκεν τοῦ μὴ σχίσαι μαρτυρία, κατ᾽ ἐμὲ δὲ καὶ μείζων. ἐκεῖ μὲν γὰρ ὑπὲρ μιᾶς τις τῆς ἑαυτοῦ ψυχῆς, ἐνταῦθα δὲ ὑπὲρ ὅλης τῆς ἐκκλησίας, καὶ νῦν δὲ εἰ πείσαις, καὶ εἰ βιάσαις τοὺς ἀδελφοὺς εἰς ὁμόνοιαν ἐλθεῖν, μεῖζον ἔσται σοι, τοῦ σφάλματος, τὸ κατόρθωμα. καὶ τὸ μὲν οὐ λογισθήσεται, τὸ δὲ ἐπαινεθήσεται. εἰ δὲ ἀπειθούντων ἀδυνατοίης, σώζων σῶζε τὴν ἑαυτοῦ ψυχήν. ἔστιν αὐτοῦ πρὸς διονύσιον καὶ δίδυμον ἄλλη ἐπιστολή. καὶ ἑορταστικαὶ περὶ τοῦ πάσχα πολλαί, λόγων κράτος ἔχουσαι. καὶ πρὸς τὴν ἀλεξανδρέων ἐκκλησίαν περὶ ἐξορίας. καὶ πρὸς ἱέρακα αἰγύπτου ἐπίσκοπον. καὶ ἄλλη περὶ θνήσεως καὶ σαββάτου. καὶ περὶ γυμνασίου καὶ πρὸς ἑρμάμμωνα. καὶ ἄλλη περὶ διωγμοῦ δεκίου. καὶ δύο λόγοι κατὰ νέπωτος ἐπισκόπου τοῦ συγγραψαμένου χιλίων ἐνιαυτῶν σωματικὴν βασιλείαν, ἐν οἷς περὶ τῆς ἰωάννου ἀποκαλύψεως ἐπιμελῶς διήλεκται.

καὶ κατὰ

PONTIVS.

PONTIVS diaconus Cypriani, uſque ad diem paſſionis eius, cum ipſo exilium ſuſtinens, egregium uolumen, uitæ & paſſionis Cypriani reliquit.

DIONYSIVS EPISCOPVS.

DIONYSIVS Alexandrinæ urbis epiſcopus, ſub Heracla ſcholam κατηχήσεων presbyter tenuit, & Origenis ualde inſignis auditor fuit. Hic in Cypriani & Africanæ ſynodi dogma conſentiens, de hæreticis rebaptizandis, ad diuerſos plurimas miſit epiſtolas, quæ uſque hodie extant: & ad Flauianum Antiochenæ urbis epiſcopum ſcripſit de pœnitentia, & ad Romanos per Hippolytum alteram, ad Xyſtum qui Stephano ſucceſſerat, duas epiſtolas, & ad Philemonem & ad Dionyſium Romanæ Eccleſiæ presbyteros, duas epiſtolas, & ad eundem Dionyſium poſtea Romæ epiſcopum, & ad Nouatianū cauſantem, quod inuitus Romæ Epiſcopus ordinatus eſſet, cuius epiſtolæ hoc exordium eſt:

Dionyſius Nouatiano fratri ſalutem. Si inuitus, ut dicis, rdinatus es, probabis, quum uolens ſeceſſeris.

Eſt eius ad Dionyſium & ad Didymum altera epiſtola, & ἑορταστικαὶ de paſcha plurimæ declamatorio ſermone conſcriptæ, & ad Alexandrinam eccleſiam de exilio, & ad Hieraclam in Aegypto epiſcopum, & alia de mortalitate, & de ſabbato, & περὶ γυμνασίου, & ad Hermammonem, & alia de perſecutione Decij, & duo libri aduerſum Nepotem epiſcopum, qui mille annorum corporale regnum ſuis ſcriptis aſſeuerat, in quibus & de Apocalypſi Ioannis diligentiſſimè diſputat.

καὶ κατὰ σαβελλίου, καὶ πρὸς ἀμμῶνα βερωνίκης ἐπίσκοπον. καὶ πρὸς πλεφόρον καὶ εὔφραν, καὶ τέσσαρες λόγοι πρὸς διονύσιον ῥώμης ἐπίσκοπον. καὶ πρὸς λαοδικεῖς, περὶ μετανοίας. ὁμοίως πρὸς κόνωνα, περὶ μετανοίας, πρὸς ὠριγένην περὶ μαρτυρίου, πρὸς ἀρμενίους περὶ μετανοίας. καὶ κανόνας ἁμαρτιῶν. περὶ φύσεως, πρὸς τιμόθεον, περὶ πειρασμῶν, πρὸς εὐφράνορα, καὶ πρὸς βασιλείδην πολλὰς ἐπιστολάς, ἀφ᾽ ὧν ἐν τῇ μιᾷ λέγει, ὡς ἤρξατο καὶ εἰς τὸν ἐκκλησιαστὴν συντάττειν ὑπομνήματα. καὶ κατὰ παύλου τοῦ σαμοσατέως πρὸ ὀλίγων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς, ἐπίσημος αὐτοῦ φέρεται ἐπιστολή. τελευτᾷ τῷ δεκάτῳ ἔτει γαλιήνου βασιλέως.

ΝΩΒΑΤΙΑΝΟΣ.

ΝΩΒΑΤΙΑΝΟΣ, τῆς ἐν ῥώμῃ ἐκκλησίας πρεσβύτερος, κατὰ κορνηλίου τὸν θρόνον τῆς ἐπισκοπῆς ὑπεισελθεῖν ἐπιχειρήσας, τὸ νωβατιανῶν, ὅπερ ἑλληνικῇ διαλέκτῳ καθαρὸν λέγουσι, συνεστήσατο δόγμα, μὴ βουλόμενος τοὺς ἀποστάντας δέξασθαι μετανοοῦντας. τούτου διδάσκαλος ἤτοι ἀρχηγὸς νώβατος, κυπριανοῦ πρεσβύτερος γέγονε. καὶ συνεγράψατο περὶ τοῦ πάσχα, περὶ σαββάτου, περὶ περιτομῆς, περὶ ἱερέως, περὶ εὐχῆς, περὶ βρωμάτων ἰουδαϊκῶν, περὶ τῶν ἐνεστώτων, περὶ ἀττάλου, καὶ ἕτερα πολλά, καὶ περὶ τῆς τριάδος μέγα τεῦχος, ὥσπερ ἐπιτομὴν τοῦ τερτυλλιανοῦ συγγράμματος ποιῶν, ὅπερ πολλοὶ ἀγνοοῦντες νομίζουσιν εἶναι κυπριανοῦ.

ΜΑΛΧΙΩΝ.

ΜΑΛΧΙΩΝ, ἐλλογιμώτατος τῆς ἐν ἀντιοχείᾳ ἐκκλησίας πρεσβύτερος, καὶ ἐν τῇ αὐτῇ πόλει τὴν ῥητορικὴν ἐπισήμως διδάξας, κατὰ παύλου τοῦ σαμοσατέως, τοῦ ἐν τῇ ἀντιοχείας ἐκκλησίας τὸ δόγμα ἀρτέμωνος ἀνανεώσαντος, ἐκλαμβανόντων νοταρίων διελέχθη, ὅς τις διάλογος ἄχρι τοῦ δεῦρο ὑπάρχει. καὶ ἄλλη ἐπιστολὴ ἐκ προσώπου τῆς συνόδου παρ᾽ αὐτοῦ γραφεῖσα, πρὸς διονύσιον καὶ μάξιμον ῥώμης καὶ ἀλεξανδρείας ἐπισκόπους, πέμπεται. ἤνθησεν ἐπὶ κλαυδίου καὶ αὐρηλιανοῦ.

ΑΡΧΕΛΑΟΣ

Et aduerſum Sabellium, & ad Ammonem Beronices epiſcopum, & ad Telephorum, & ad Euphran, & quatuor libri ad Dionyſium, Romanæ urbis epiſcopum, & ad Laodicenſes de pœnitentia. Item ad Canonem de pœnitentia, & ad Origenem de martyrio. Ad Armenios de pœnitentia, & de ordine delictorũ, de natura ad Timotheum, de tentationibus ad Euphranorem. Ad Baſilidem quoque multæ epiſtolæ, in quarum una ſe aſſerit, etiam in Eccleſiaſten cœpiſſe ſcribere cõmentarios. Sed aduerſus Paulum Samoſatenum, ante paucos dies quàm moreretur, inſignis eius fertur epiſtola. Moritur duodecimo Galieni anno.

NOVATIANVS.

NOVATIANVS Romanæ urbis presbyter, aduerſus Cornelium, cathedram ſacerdotalem conatus inuadere, Nouatianorum, quod græce dicitur καθαρῶν, dogma conſtituit, nolens apoſtatas ſuſcipere pœnitentes, huius autor Nouatus Cypriani presbyter fuit.

Scripſit autem de paſcha, de ſabbato, de circunciſione, de ſacerdote, de oratione, de cibis Iudaicis, de inſtantia, de Attalo, multaq; alia, & de trinitate grande uolumen, quaſi ἐπιτομὴν operis Tertulliani faciens, quod pleriq; neſcientes Cypriani exiſtimant.

MALCHION.

MALCHION diſertiſſimus Antiochenæ eccleſiæ presbyter, quippe qui in eadem urbe Rhetoricã florentiſſime docuerat, aduerſum Paulum Samoſateum, qui Antiochenæ eccleſiæ epiſcopus, dogma Artemonis inſtaurarat, excipientibus notarijs diſputauit, qui dialogus uſque hodie extat. Sed & alia grandis epiſtola ex perſona ſynodi ab eo ſcripta ad Dionyſium & Maximũ Romanæ & Alexandriæ eccleſiæ epiſcopos dirigitur. Floruit ſub Claudio & Aureliano.

ΑΡΧΕΛΑΟΣ.

ΑΡΧΕΛΑΟΣ ἐπίσκοπος μεσοποταμίας, λόγον οἰκείας διαλέξεως, τὴν πρὸς μανιχαῖον, ἀπὸ περσίδος ἐξελθόντος, τῇ τῶν σύρων διαλέκτῳ συνέθηκεν, ὃς μεταφρασθεὶς εἰς ἑλληνικὸν, ἔστι παρὰ πολλοῖς. Διέπρεψε βασιλεύοντος πρόβου τοῦ διαδεξαμένου αὐρηλιανὸν καὶ τάκιτον.

ΑΝΑΤΟΛΙΟΣ.

ΑΝΑΤΟΛΙΟΣ ἀλεξανδρεύς, λαοδικείας τῆς συρίας ἐπίσκοπος ἐπὶ πρόβου καὶ κάρου βασιλέων ἤνθησεν, θαυμαστῆς παιδεύσεως ἀνὴρ, ἐν τῇ ἀριθμητικῇ, γεωμετρικῇ, ἀστρονομικῇ, γραμματικῇ, ῥητορικῇ, διαλεκτικῇ. οὗτινος τῆς εὐφυΐας τὸ μέγεθος, ἀπὸ τοῦ τεύχους τοῦ περὶ πάσχα συντεθειμένου, καὶ ἀπὸ τῶν δέκα λόγων τῆς ἀριθμητικῆς συντάξεως, νοεῖν δυνησόμεθα.

ΒΙΚΤΩΡΙΝΟΣ.

ΒΙΚΤΩΡΙΝΟΣ πιταβίωνος ἐπίσκοπος, οὐχ ὁμοίως ῥωμαϊστὶ ὡς ἑλληνιστὶ ἠπίστατο, διὸ τὰ ἔργα αὐτοῦ πάνυ μεγάλα ὄντα τοῖς νοήμασιν, δοκεῖ εἶναι εὐτελῆ διὰ τὴν τῶν λόγων σύνθεσιν. ἔστι δὲ ταῦτα ὑπομνήματα, εἰς τὴν γένεσιν, εἰς τὴν ἔξοδον, εἰς λευιτικὸν, εἰς ἡσαΐαν, εἰς ἰεζεκιὴλ, εἰς ἀββακούμ, εἰς ἐκκλησιαστὴν, εἰς ᾆσμα τῶν ᾀσμάτων, εἰς ἀποκάλυψιν ἰωάννου, κατὰ πασῶν τῶν αἱρέσεων, καὶ ἕτερα πάμπολλα. εἶτα τελευταῖον μαρτυρήσας ἐστέφθη.

ΠΑΜΦΙΛΟΣ.

ΠΑΜΦΙΛΟΣ πρεσβύτερος, εὐσεβίου καισαρείας ἐπισκόπου ἀναγκαῖος φίλος, οὕτω κατεσχέθη φίλτρῳ τῆς θείας βιβλιοθήκης, ὥστε αὐτοῦ μέγιστον μέρος τῶν ὠριγένους συνταγμάτων, ἰδίᾳ χειρὶ καταγράψαι, ἅπερ ἄχρι τοῦ παρόντος, ἐν τῇ καισαρείας βιβλιοθήκῃ τυγχάνει, καὶ εἰς τοὺς δώδεκα προφήτας, καὶ πέντε καὶ εἴκοσιν ἐξηγήσεων ὠριγένους τεύχη, τῇ χειρὶ αὐτοῦ εὗρον γραφέντα, ἅτινα τοσαύτῃ περιπτύσσομαι καὶ φυλάττω χαρᾷ, ὡς τὸν κροίσου πλοῦτον ἔχειν με πιστεύειν. Εἰ γὰρ μεγίστης ἐστὶ χαρμοσύνης, μίαν ἐπιστολὴν μάρτυρος ἔχειν, πόσῳ μᾶλλον, τοσαύτας χιλιάδας στίχων, δι' ὧν ὥς ἐμοὶ δοκεῖ, τὰ ἴχνη, τοῦ οἰκείου καταλέλοιπε πάθους; Εγραψε δὲ πρὸ τοῦ εὐσέβιον

συγγράψαι

ARCHELAVS.

ARCHELAVS epiſcopus Meſopotamiæ, librum diſputationis ſuæ, quam habuit aduerſum Manichæũ, exeuntem de Perſide, Syro ſermone compoſuit, qui translatus in græcum, habetur à multis. Claruit ſub Imperatore Probo, qui Aureliano & Tacito ſucceſſerat.

ANATOLIVS.

ANATOLIVS Alexandrinus, Laodiciæ Syriæ epiſcopus, ſub Probo & Caro Imperatoribus floruit, miræ doctrinæ uir fuit, in Arithmetica, Geometria, Aſtronomia, Grammatica, Rhetorica, Dialectica. Cuius ingenij magnitudinem, de uolumine quod ſuper paſcha compoſuit, & decem libris de Arithmeticæ inſtitutionibus intelligere poſſumus.

VICTORINVS.

VICTORINVS Pitabionenſis epiſcopus, non æque latine ut græce nouerat. Vnde opera eius grãdia ſenſibus, uiliora uidentur compoſitione uerborum. Sunt autem hæc: Commentarij in Geneſim, in Exodum, in Leuiticum, in Eſaiam, in Hiezekiel, in Habacuc, in Eccleſiaſten, in Cantica canticorum, in Apocalypſim Ioannis, aduerſum omnes hæreſes, & multa alia. Ad extremum martyrio coronatus eſt.

PAMPHILVS.

PAMPHILVS presbyter, Euſebij Cæſarienſis epiſcopi neceſſarius, tanto bibliothecæ diuinæ amore flagrauit, ut maximam partem Origenis uoluminum, ſua manu deſcripſerit, quæ uſque hodie in Cæſarienſi bibliotheca habentur, ſed & in duodecim prophetas, uigintiquinq; ἐξηγήσεων. Origenis uolumina manu eius exarata repperi, quæ tanto amplector & ſeruo gaudio, ut Crœſi opes habere me credam. Si enim lætitia eſt, unam epiſtolam habere martyris, quanto magis tot millia uerſuum, per quæ mihi uidetur ſui ſanguinis ſignaſſe ueſtigia? Scripſit anteq; Euſebius

συγγράψαι ἀπολογητικὸν, ὑπὲρ ὠριγένους, καὶ ἔπαθεν ἐν καισαρείᾳ τῆς παλαιστίνης ἐν τῷ μαξιμίνου διωγμῷ.

ΠΙΕΡΙΟΣ.

ΠΙΕΡΙΟΣ τῆς κατὰ ἀλεξάνδρειαν ἐκκλησίας πρεσβύτερος, ἐπὶ κάρου καὶ διοκλητιανοῦ βασιλέων, ἐν ἐκείνῳ τῷ καιρῷ, ἐν ᾧ τὴν αὐτὴν ἐκκλησίαν θεωνᾶς ἐπίσκοπος ἐκυβέρνα, ἀνθηρῶς τὸν λαὸν ἐδίδαξε, καὶ εἰς τοσαύτην τῶν τε λόγων καὶ διαφόρων ὁμιλιῶν, τῶν ἄχρι τῆ μέσον τυγχανουσῶν, ἦλθεν εὐφυΐαν, ὥς τε αὐτὸν νέον κληθῆναι ὠριγένην. ὡμολόγηται δὲ τοῦτον τῆς τε ἀσκήσεως καὶ ἑκουσίου πτωχείας γεγενῆσθαι ἐραστὴν, ἔμπειρον ὄντα διαλεκτικῆς καὶ ῥητορικῆς ἐπιστήμης, καὶ μετὰ τὸν διωγμὸν, πάντα τὸν βίον ἐν τῇ ῥώμῃ διαπεπλεκέναι. Ἔστι τούτου μακροτάτη ὁμιλία, περὶ ὠσηὲ τοῦ προφήτου, ἥν τινα τῇ παννυχίδι τοῦ πάσχα ἁρμόττειν πρὸς τὴν ἀνάγνωσιν, αὐτὸς ὁ λόγος δηλοῖ.

ΛΟΥΚΙΑΝΟΣ.

ΛΟΥΚΙΑΝΟΣ, ἀνὴρ ἐλλογιμώτατος, τῆς κατὰ ἀντιόχειαν ἐκκλησίας πρεσβύτερος, τοσοῦτον ἐν τῇ ἀσκήσει τῶν γραφῶν κέκμηκεν, ὥς τε ἄχρι τοῦ παρόντος, τινὰ τῶν ἀντιγράφων κληθῆναι λουκιάνεια. Φέρονται αὐτοῦ περὶ πίστεως λόγοι, καὶ βραχύταται πρός τινας ἐπιστολαί. Ἀπέθανεν ἐν νικομηδίᾳ, ὑπὲρ τῆς χριστοῦ ἐξομολογήσεως, ἐν τῷ διωγμῷ μαξιμίνου, καὶ ἐτάφη ἐν ἑλενοπόλει τῆς βιθυνίας.

ΦΙΛΕΑΣ.

ΦΙΛΕΑΣ ἀπὸ πόλεως θμούεως τῆς αἰγύπτου, περιφανὴς τῷ γένει, καὶ οὐ μικρᾶς περιουσίας, τὴν ἐπισκοπὴν δεξάμενος, εὐφυέστατον λόγον περὶ τῶν ἐπαίνων τῶν μαρτύρων συνεγράψατο, καὶ διάλογον τῆς γενομένης πράξεως ἐπὶ τοῦ ἄρχοντος τοῦ καταναγκάζοντος αὐτὸν ἐπιθύειν. οὗτος ὑπὲρ τοῦ χριστοῦ ἀποτέμνεται διωγμοῦ ἐν τῇ αἰγύπτῳ ὄντος, κἀκείνου αὐθεντοῦντος τοῦ καὶ ἐπὶ λουκιανοῦ ἐν νικομηδείᾳ.

ΑΡΝΟΒΙΟΣ.

ΑΡΝΟΒΙΟΣ ἐπὶ διοκλητιανοῦ ἐν σίκκῃ τῇ πόλει τῆς ἀφρικῆς, ἀνθηρῶς τὴν ῥητορικὴν ἐδίδαξε, καὶ συνεγράψατο κατὰ τῶν ἐθνῶν τεύχη, ἅπερ τυγχάνει παρὰ πολλοῖς.

ſcriberet apologeticum pro Origene, & paſſus eſt Cæſareæ Palæſtinæ, ſub perſecutione Maximini.

PIERIVS.

PIERIVS Alexandrinæ eccleſiæ presbyter, ſub Caro & Diocletiano principibus, eo tempore, quo eandem eccleſiam Theonas epiſcopus regebat, florentiſſime docuit populos, & in tantam ſermonis, diuerſorumq́ue tractatuum, qui uſque hodie extant, uenit elegantiam, ut Origenes Iunior uocaretur. Conſtat hunc miræ ἀσκήσεως, & appetitorem uoluntariæ paupertatis, ſcientiſſimumq́ue Dialecticæ et Rhetoricæ artis, & poſt perſecutionē, omne uitæ ſuæ tempus Romæ fuiſſe uerſatum. Huius eſt longiſſimus tractatus de propheta Oſee, quem in peruigilio paſchæ habitum, ipſe ſermo demonſtrat.

LVCIANVS.

LVCIANVS uir diſertiſſimus, Antiochenæ eccleſiæ presbyter, tantum in ſcripturarum ſtudio laborauit, ut uſque nunc quædam exemplaria ſcripturarum, Lucianea nuncupentur. Feruntur eius de fide libelli, & breues ad nō nullos epiſtolæ. Paſſus eſt Nicomediæ ob confeſſionem Chriſti, ſub perſecutione Maximini, ſepultusq́ue Helenopoli Bithyniæ.

PHILEAS.

PHILEAS de urbe Aegypti, quæ uocatur Thmuis, nobili genere, & non paruis opibus, ſuſcepto epiſcopatu elegantiſſimum librum de martyrum laude compoſuit, & diſputatione actorū habita aduerſum iudicem, qui eum ſacrificare cogebat, pro Chriſto capite truncatur, eodem in Aegypto perſecutiōis autore, quo Lucianus Nicomediæ.

ARNOBIVS.

ARNOBIVS, ſub Diocletiano principe, Siccæ apud Aphricam, florentiſſime Rhetoricam docuit, ſcripſitq́ue aduerſum gentes, quæ uulgo extant uolumina.

ΦΙΡΜΙΛΙΑΝΟΣ.

ΦΙΡΜΙΛΙΑΝΟΣ, ὁ καὶ λακτάντιος, ἀρνοβίου μαθητής, ἐπὶ διοκλητιανοῦ βασιλέως, μεταστάλεις μετὰ φλαβίου γραμματικοῦ, οὗ τινος περὶ ἰατρικῶν εἰσὶ δι᾿ ἐπῶν συγγραφαί, ἐν νικομηδείᾳ τὴν ῥητορικὴν ἐδίδαξε, καὶ τῇ πενίᾳ τῶν μαθητῶν, μάλιστα διὰ τὴν ἑλληνικὴν πόλιν, εἰς συγγράμματα ἑαυτὸν μεθῆκεν. ἔχομεν τοῦτο συμπόσιον, ὅπερ νέος ἐν τῇ ἀφρικῇ συνέταξε, καὶ ὁδοιπορικὸν ἀπὸ τῆς ἀφρικῆς ἕως νικομηδείας δι᾿ ἑξαμέτρων συντεθέν. καὶ ἄλλην βίβλον, ἥν τινες ἐπιγράφει γραμματικός. καὶ ὡραῖον περὶ ὀργῆς θεοῦ. καὶ θείων εἰσαγωγῶν, κατὰ τῶν ἐθνῶν λόγους ἑπτά, καὶ ἐπιτομὴν τοῦ αὐτοῦ συγγράμματος ἀκεφάλου, καὶ πρὸς ἀσκληπιάδην λόγους δύο, περὶ διωγμοῦ λόγους εἷς. πρὸς πρόβον ἐπιστολῶν λόγους τέσσαρας. πρὸς τὸν αὐτὸν περὶ δημιουργίας θεοῦ λόγον εἷς. οὗτος ἐν τῷ ἐσχάτῳ γήρᾳ, διδάσκαλος κατέστη καίσαρος κρίσπου τοῦ υἱοῦ κωνσταντίνου ἐν γαλλίαις, ὃς ὕστερον παρὰ τοῦ πατρὸς ἀνῃρέθη.

ΕΥΣΕΒΙΟΣ.

ΕΥΣΕΒΙΟΣ, καισαρείας παλαιστίνης ἐπίσκοπος, ἐν ταῖς θείαις γραφαῖς σπουδαῖος, καὶ τῆς θείας βιβλιοθήκης ἅμα παμφίλῳ τῷ μάρτυρι ἐπιμελέστατος ἀνιχνευτής, ἐξέδωκε πολλὰ τεύχη. ὧν εἰσι τάδε. Εὐαγγελικῆς ἀποδείξεως λόγοι εἴκοσι. εὐαγγελικῆς προπαρασκευῆς, λόγοι δέκα καὶ πέντε. Θεοφανείας λόγοι πέντε. Ἐκκλησιαστικῆς ἱστορίας λόγοι δέκα. χρονικῶν κανόνων παντοδαπῆς ἱστορίας, καὶ τούτων ἐπιτομή. περὶ τῆς τῶν εὐαγγελίων διαφωνίας. Εἰς ἡσαΐαν λόγοι δέκα. κατὰ πορφυρίου, τοῦ τότε συγγράφοντος ἐν σικελίᾳ, ὥς τινες οἴονται λόγοι τριάκοντα, ἀφ᾿ ὧν εἰς ἐμέ, λόγοι εἴκοσι μόνον περιῆλθον. τοπικῶν λόγος εἷς. ἀπολογίας ὑπὲρ ὠριγένους λόγοι ἕξ. περὶ τοῦ βίου παμφίλου λόγοι τρεῖς. περὶ μαρτύρων ἕτερα συγγράμματα. καὶ εἰς τοὺς, ρν, ψαλμούς, δεδοκιμασμένα ὑπομνήματα, καὶ ἕτερα πολλά. ἤνθησε μάλιστα ἐπὶ κωνσταντίνου τοῦ βασιλέως καὶ κωνσταντίου, καὶ διὰ τὴν φιλίαν τὴν πρὸς πάμφιλον τὸν μάρτυρα, τῇ ἐπωνυμίᾳ αὐτοῦ ἐκλήθη.

FIRMIANVS.

FIRMIANVS, qui & Lactantius, Arnobij diſcipulus, ſub Diocletiano principe accitus cum Flauio Grammatico, cuius de medicinalibus uerſu compoſiti extant libri. Nicomediæ Rhetoricam docuit, ac penuria diſcipulorum, ob græcam uidelicet ciuitatem, ad ſcribendum ſe contulit. Habemus eius ſympoſium, quod adoleſcentulus ſcripſit, ὁδοιπορικὸν de Africa uſque ad Nicomediam, hexametris ſcriptũ uerſibus, & alium librum qui inſcribitur Grammaticus, & pulcherrimum de ira dei, & inſtitutiouum diuinarum aduerſum gentes libros ſeptem, & ἐπιτομὴν eiuſdẽ operis in libro uno acephalo, & ad Aſclepiadẽ libros duos. De perſecutione librum unum. Ad Probum epiſtolarũ libros quatuor. Ad Seuerum, epiſtolarum libros duos. Ad Demetrianum auditorem ſuum, libros duos. Ad eundem de opificio dei, uel formatione hominis, librum unum. Hic extrema ſenectute magiſter Cæſaris Criſpi, filij Conſtantini in Gallia fuit, qui poſtea à patre interfectus eſt.

EVSEBIVS.

EVSEBIVS Cæſareæ Palæſtinæ epiſcopus, in ſcripturis diuinis ſtudioſiſſimus, & bibliothecæ diuinæ, cum Pamphilo martyre diligentiſſimus peruestigator, ædidit infinita uolumina. De quibus hæc ſunt, εὐαγγελικῆς ἀποδείξεως libri uiginti, εὐαγγελικῆς προπαρασκευῆς libri quindecim, θεοφανείας libri quinque. Eccleſiaſticæ hiſtoriæ libri decem. Chronicorum canonum omnimodam hiſtoriam, & eorũ ἐπιτομήν. Et de euangeliorum diaphonia. In Eſaiam libri decem, & contra Porphyrium qui eodem tempore ſcribebat in Sicilia, ut quidam putant, libri triginta, de quibus ad me uiginti tantum peruenerunt. τοπικῶν librum unum, ἀπολογίας pro Origene libros ſex. De uita Pamphili lib. tres. De martyribus alia opuſcula. Et in centum quinquaginta pſalmos, eruditiſſimos cõmentarios, & multa alia. Floruit maxime ſub Conſtantino Imperatore & Conſtantio, & ob amicitiam Pamphili martyris, ab eo cognomentum ſortitus eſt.

ΡΑΙΤΙΚΙΟΣ.

ΡΑΙΤΙΚΙΟΣ ἰδυάρων, τουτέστιν αὐγουστοδίας ἐπίσκοπος, ἐπὶ κωνσταντίνου ἀπολήψεως χρηστῆς ἐγένετο ἐν τῇ γαλλίᾳ. Αναγινώσκονται τούτου ὑπομνήματα εἰς ἄσματα τῶν ᾀσμάτων, καὶ μέγα τεῦχος κατὰ νωβατιανοῦ, οὐδὲν δὲ ἕτερον πλὴν τούτων, ἐκ τῶν αὐτοῦ εὗρον συγγραμμάτων.

ΜΕΘΟΔΙΟΣ.

ΜΕΘΟΔΙΟΣ ὀλύμπου λυκίας, καὶ μετὰ ταῦτα τύρου ἐπίσκοπος, λαμπροῦ καὶ συγκειμένου λόγου, κατὰ πορφυρίου συνέταξε τεύχη, καὶ συμπόσιον δέκα παρθένων, περὶ ἀναστάσεως λόγον ἄριστον, κατὰ ὠριγένους, κατὰ τοῦ αὐτοῦ περὶ πυθωνίσσης, καὶ περὶ αὐτεξουσίου, εἰς τὴν γένεσιν τε καὶ εἰς τῶν ἄσματα τῶν ᾀσμάτων ὑπομνήματα, καὶ ἕτερα πολλὰ χύδην ἀναγινωσκόμενα. ὃς περὶ τὰ τελευταῖα τοῦ διωγμοῦ καθώς τινες διαβεβαιοῦνται, ἐπὶ δεκίου καὶ βαλεριανοῦ, ἐν χαλκίδι τῆς ἀνατολῆς μαρτυρίῳ ἐστεφανώθη.

ΙΟΥΒΕΓΚΟΣ.

ΙΟΥΒΕΓΚΟΣ περιφανοῦς γένους, ἱσπανὸς πρεσβύτερος, τῶν τεσσάρων εὐαγγελίων διὰ ἑξαμέτρων σχεδὸν κατὰ πόδας τέσσαρας συνέταξε βίβλους. καί τινα τῷ αὐτῷ μέτρῳ, εἰς μυστικὴν προσήκοντα τάξιν. ἤνθησεν ἐπὶ κωνσταντίνου βασιλέως.

ΕΥΣΤΑΘΙΟΣ.

ΕΣΤΑΘΙΟΣ, τὸ γένος παμφύλιος, σιδίτης, πρῶτον μὲν τὴν ἐν βεροίᾳ τῆς συρίας, ἔπειτα τὴν ἀντιοχείαν ἐκυβέρνησεν ἐκκλησίαν, κατὰ τοῦ δόγματος τῶν ἀρειανῶν, πολλὰ συντάξας, ἐπὶ κωνσταντίου βασιλέως ἐξωστρακίσθη εἰς τραϊανούπολιν τῆς θράκης, ἐν ᾗ καὶ ἐτάφη. Εἰσὶ τούτου συγγράμματα περὶ ψυχῆς, περὶ ἐγγαστριμύθου, κατὰ ὠριγένους. καὶ ἄλλαι πολλαὶ ἐπιστολαί, ἃ ἀπαριθμεῖσθαι περισσόν.

ΜΑΡΚΕΛΛΟΣ.

ΜΑΡΚΕΛΛΟΣ ἀγκυρανὸς ἐπίσκοπος, ἐπὶ κωνσταντίου καὶ κώνσταντος ἤνθησε, πολλὰ διαφόρων ὑποθέσεων γράψας τεύχη, καὶ μάλιστα κατὰ τῶν ἀρειανῶν. φέρονται κατ' αὐτοῦ ἀστερίου καὶ ἀπολλιναρίου λόγοι, σαβελλιανῆς τούτου αἱρέσεως εὐθύνοντες.

καὶ ἱλά

RHAETICIVS.

RHAETICIVS Eduorum, id eſt Auguſtudunenſis epiſcopus, ſub Conſtantino celeberrimæ famæ habitus eſt in Gallijs. Leguntur eius cõmentarij in Cantica canticorum, & aliud grande uolumen aduerſus Nouatianum, nec præter hoc quicquam eius operum repperi.

METHODIVS.

METHODIVS Olympi Lyciæ, & poſtea Tyri epiſcopus, nitidi compoſitíq; ſermonis, aduerſum Porphyrium confecit libros, & ſympoſium decem uirginum, de reſurrectione opus egregium, contra Origenem, & aduerſus eundem de Pythoniſſa, et de autexuſio. In Geneſim quoq; & in Cantica canticorum cõmentarios, & multa alia quæ uulgo lectitantur, & ad extremum nouiſſimæ perſecutionis, ſiue ut alij affirmãt, ſub Decio & Valeriano in Chalcide Græciæ, martyrio coronatus eſt.

IVVENCVS.

IVVENCVS, nobiliſſimi generis Hiſpanus, presbyter, quatuor euãgelia hexametris uerſibus penè ad uerbum transferens, quatuor libros compoſuit, & nonnulla eodem metro ad ſacramentorum ordinem pertinentia. Floruit ſub Conſtantino principe.

EVSTATHIVS.

EVSTATHIVS genere Pamphylius Sidites, primũ Beriæ Syriæ, deinde Antiochiæ rexit eccleſiam, & aduerſum Arrianorum dogma componens multa, ſub Conſtantio principe pulſus eſt in exilium Traianopolim Thraciarum, ubi uſque hodie conditus eſt. Extant eius uolumina de anima, de engaſtrimytho aduerſum Origenem, & infinitæ epiſtolæ, quas enumerare longum eſt.

MARCELLVS.

MARCELLVS Ancyranus epiſcopus, ſub Conſtante & Conſtantino principibus floruit, multaq; diuerſarum ὑποθέσεων ſcripſit uolumina, & maxime aduerſum Arrianos. Feruntur contra hunc Aſterij & Apollinarij libri, Sabellianæ eum hæreſis arguentes.

καὶ ἱλάριος δὲ ἐν τῷ ἑβδόμῳ κατὰ τῶν ἀρειανῶν λόγῳ, οἷα δὴ αἱρετικοῦ μέμνηται. ἀλλ' ἐκεῖνος ἀπολογεῖται, μὴ εἶναι οὗ κατηγορεῖται δόγματος, τῇ κοινωνίᾳ πεποιθὼς ἰουλίου καὶ ἀθανασίου ῥώμης καὶ ἀλεξανδρείας ἐπισκόπων.

ΑΘΑΝΑΣΙΟΣ.

